the counts having-considered against the your they-plot life
κἀγὼ μὲν τοὐμὸν ἤδη πεπλήρωκα καὶ τὸν ἐπερχόμενόν
and-I indeed the-my(-part) already have-fulfilled and the coming-on
σοι προείρηκα κίνδυνον. τοῦ λοιποῦ σόν ἐστιν, ὑπὲρ τῆς
to-you have-foretold danger for-the rest yours it-is for the

ἑαυτοῦ καὶ τῶν ὑπὸ σὲ ταγμάτων φροντίσαι σωτηρίας.”
your-own and of-the under you units to-take-thought safety
ὁ δὲ Τατίκιος ὁρῶν μὲν καὶ τὸν λιμὸν πολύν (καὶ
— and Tatikios seeing indeed also the famine great and
γὰρ ἡ κεφαλὴ τοῦ βοὸς ἐπὶ τρισὶ χρυσίνοις στατῆρσιν
for the head of-the ox for three gold staters
ἀπεμπολεῖτο), ἀπαγορεύων δὲ καὶ τὴν τῆς Ἀντιοχείας
was-sold despairing-of and also the — of-Antioch
ἅλωσιν ἤδη ἐκεῖθεν ἀπάρας εἰς τὸν ἐν τῷ λιμένι
capture already from-there having-set-out into the in the harbor
Σουδὶ ἱστάμενον Ῥωμαϊκὸν στόλον εἰσελθὼν τὴν Κύπρον
Soudi lying Roman fleet having-entered — Cyprus
κατέλαβε. τούτου δὲ ὑποχωρήσαντος τὸν λόγον τοῦ
reached he and having-withdrawn the word of-the
Ἀρμενίου ὑποβρύχιον ἔτι ἔχων ὁ Βαϊμοῦντος καὶ χρησταῖς
Armenian submerged still having — Bohemond and on-good
ἐλπίσι τρεφόμενος περιποιούμενός τε ἑαυτῷ τὴν τῆς
hopes feeding securing and for-himself the —
Ἀντιοχείας ἐξουσίαν πρὸς τοὺς κόμητας ἔφη “ὁρᾶτε
of-Antioch rule to the counts he-said you-see
ὁπόσον ἤδη χρόνον ἐνταῦθα προσταλαιπωρήσαντες οὐ
how-much already time here having-suffered-hardship not
μόνον οὐδὲν χρηστὸν μέχρι καὶ νῦν κατωρθώσαμεν, ἀλλὰ
only nothing good until even now we-have-achieved but
καὶ λιμοῦ ὅσον ἤδη γενώμεθα παρανάλωμα, εἰ μή τι
also of-famine all-but already we-may-become a-casualty if not something
βέλτιον περὶ τῆς σφῶν σωτηρίας σκεψόμεθα”. τῶν δέ,
better about the our safety we-shall-consider the(-men) and
τί ἂν εἴη τοῦτο, πυνθανομένων αὐτὸς ἔφη “οὐ πάσας
what — might-be this inquiring he he-said not all
τὰς νίκας διὰ σιδήρου Θεὸς τοῖς δημαγωγοῖς δίδωσιν
the victories through iron God to-the leaders gives

οὐδὲ διὰ μάχης ἀεὶ τὰ τοιαῦτα κατορθοῦται, ἀλλ᾽ ἅπερ
nor through battle always the such(-things) are-achieved but what
ὁ μόθος οὐ δέδωκε, ταῦτα πολλάκις ὁ λόγος ἐχαρίσατο,
the fray not has-given these(-things) often the word has-granted
καὶ ἡ μετὰ φιλίας καὶ ὑποποιήσεως περίοδος μείζονα
and the with friendship and conciliation approach greater
τρόπαια ἔστησεν. οὐ χρὴ τοιγαροῦν μάτην τὸν καιρὸν
trophies has-set-up not it-is-needful accordingly in-vain the time
τρίβειν, σπεῦσαι δὲ μᾶλλον πρὸ τοῦ τὸν Κουρπαγὰν
to-waste to-hasten and rather before the — Kourpagan
καταλαβεῖν νουνεχές τι καὶ ἀνδρικὸν διαπράξασθαι
to-arrive sensible something and manly to-accomplish
τῆς ἡμῶν ἕνεκα σωτηρίας· καὶ σπουδαίως ἕκαστος ἡμῶν
the our for-the-sake safety and zealously each of-us
τὸν τὸ ἴδιον λάχος τηροῦντα βάρβαρον ὑποποιείσθω. καὶ
the the own lot guarding barbarian let-him-win-over and
εἰ βούλεσθε, κείσθω καὶ ἆθλον τῷ πρώτως τοῦτο
if you-wish let-be-laid-down also prize for-the first this
τὸ ἔργον κατωρθωκότι ἡ τῆς πόλεως ταυτησὶ φυλακή,
the work having-achieved the of-the city this-here guard
μέχρις ἂν ὁ μέλλων ταύτην ἐξ ἡμῶν ἀναλαβέσθαι
until — the(-one) about it from us to-take-over
ἀπὸ τοῦ αὐτοκράτορος ἐλεύσεται. ἴσως μὲν οὖν οὐδ᾽
from the autocrat will-come perhaps indeed then not-even
οὕτω κατωρθωκέναι τι χρηστὸν δυνησόμεθα.” ταῦτα
thus to-have-achieved anything good we-shall-be-able these(-things)
ὁ δεινὸς Βαϊμοῦντος φίλαρχος ὢν οὐχ ὑπὲρ τῶν Λατίνων
the skilled Bohemond power-loving being not for the Latins
καὶ τοῦ κοινοῦ τοσοῦτον ὅσον ὑπὲρ τῆς ἑαυτοῦ τιμῆς
and the common(-good) so-much as for the his-own honor
καὶ σκοπήσας καὶ εἰπὼν καὶ ἀπατήσας οὐ διήμαρτε
both having-considered and having-said and having-deceived not missed

τοῦ σκοποῦ, ὡς ὁ λόγος κατιὼν παραστήσει. πρὸς τοῦτο
the aim as the account proceeding will-show to this
τοίνυν ἅπαντες οἱ κόμητες κατανεύσαντες ἔργου ἥψαντο.
therefore all the counts having-assented work set-to
καὶ αὐγαζούσης ἡμέρας ὁ μὲν Βαϊμοῦντος αὐτίκα πρὸς τὸν
and dawning day — indeed Bohemond at-once to the
πύργον ἀπήει· ὁ δέ γε Ἀρμένιος κατὰ τὰς συνθήκας
tower went-off the and at-least Armenian according-to the agreements
τὰς πύλας ὑπανοίγνυσιν· ὁ δὲ ἅλλεταί τε εὐθὺς μετὰ τῶν
the gates opens he and leaps both at-once with the
συνεφεπομένων αὐτῷ ἄνωθεν θᾶττον ἢ λόγος καὶ περὶ
following-with him up more-quickly than word and about
τὰ κρήδεμνα τοῦ πύργου ὡρᾶτο τοῖς ἐντός τε καὶ ἐκτὸς
the battlements of-the tower was-seen by-the inside both and outside
ἱστάμενος καὶ τὴν ἐνυάλιον ἠχεῖν ἐγκελεύων σάλπιγγα.
standing and the war to-sound ordering trumpet
καὶ ἦν ἰδεῖν τηνικαῦτα καινόν τι γινόμενον, τοὺς
and it-was to-see then new something happening the
μὲν Τούρκους ἐκδειματωθέντας εὐθὺς διὰ τῆς ἀπέναντι
indeed Turks terrified at-once through the opposite
πύλης φεύγοντας καὶ μόνους ἐξ αὐτῶν ἐναπολειφθέντας
gate fleeing and alone of them left-behind
ὀλίγους καὶ γενναίους ἄνδρας διὰ τὴν τοῦ κουλᾶ φρουράν·
few and noble men for the of-the citadel guard
τοὺς δὲ Κελτοὺς ἔξωθεν κατὰ πόδας τοῦ Βαϊμούντου
the and Celts from-outside at heels — of-Bohemond
διὰ κλιμάκων ἀνελθόντας καὶ παραχρῆμα κατασχόντας
by ladders having-come-up and immediately having-seized
τὴν Ἀντιόχου πόλιν. καὶ ὁ μὲν Ταγγρῆς εὐθὺς Κελτοὺς
the of-Antiochos city and — indeed Tancred at-once Celts
ἱκανοὺς ἀναλαβόμενος ὄπισθεν τῶν φευγόντων ἐδίωκε· καὶ
considerable having-taken behind the fleeing pursued and

πολλοὶ μὲν κτείνονται, πολλοὶ δὲ τιτρώσκονται. ὁ δὲ
many indeed are-killed many and are-wounded — and
Κουρπαγὰν μετὰ ἀναριθμήτων χιλιάδων καταλαβὼν εἰς
Kourpagan with countless thousands having-arrived for
ἀρωγὴν τῆς Ἀντιόχου πόλεως προκατασχεθεῖσαν ταύτην
aid of-the of-Antiochos city taken-beforehand it
εὑρηκὼς χάρακά τε ἐπήξατο καὶ τάφρον πεποιηκὼς καὶ
having-found palisade both pitched and trench having-made and
τὰς σκευὰς ἐν αὐτῇ καταθέμενος ἐβουλεύετο πολιορκεῖν
the baggage in it having-deposited planned to-besiege
τὴν πόλιν. ἀλλ᾽ οὔπω ἔργου ἁψάμενον ἐπικαταλαμβάνουσιν
the city but not-yet work having-set-to fall-upon
αὐτὸν ἐξελθόντες οἱ Κελτοί· καὶ τηνικαῦτα μέγας ἀναμεταξὺ
him having-come-out the Celts and then great between
ἀναρρήγνυται πόλεμος. εἶχον δὲ τὴν νικῶσαν οἱ Τοῦρκοι·
breaks-out war had and the winning(-hand) the Turks
καὶ οἱ Λατῖνοι εἴσω τῶν πυλῶν συνεκλείοντο τὸν μόθον
and the Latins inside the gates were-shut-in the fray
ἑκατέρωθεν ἔχοντες ἀπό τε τῶν τὸ κουλᾶ φρουρούντων
on-both-sides having from both the(-men) the citadel guarding
(ἔτι γὰρ τοῦτο κατεῖχον οἱ βάρβαροι) ἀπό τε τῶν
still for it held the barbarians from and the
ἔξωθεν παρακαθημένων Τούρκων. δεινὸς δὲ ἀνὴρ ὢν ὁ
outside encamped Turks skilled and man being —
Βαϊμοῦντος καὶ τὴν τῆς Ἀντιοχείας ἀρχὴν σφετερίσασθαι
Bohemond and the — of-Antioch rule to-appropriate
θέλων ἐν σχήματι συμβουλῆς αὖθις "οὐ χρή" φησι
wishing in form of-counsel again not it-is-needful he-says
πρὸς τοὺς κόμητας "τοὺς αὐτοὺς καθ᾽ ἑκάτερον μέρος
to the counts the same(-men) on each side
ἐν ταὐτῷ μετά τε τῶν ἐντὸς καὶ ἐκτὸς μάχεσθαι,
at the-same-time with both the inside and outside to-fight

ἀλλὰ διχῆ διαιρεθέντας ἐν ἀνίσοις τμήμασι πρὸς λόγον
but in-two divided in unequal sections in proportion
τῶν ἑκατέρωθεν πρὸς ἡμᾶς μαχομένων ἐχθρῶν οὕτω τὴν
of-the on-both-sides against us fighting enemies thus the
πρὸς αὐτοὺς ἀναδέχεσθαι μάχην. ἐμοὶ μὲν οὖν ἐξέσται
against them to-take-up battle for-me indeed then it-will-be-possible
μετὰ τῶν τὴν ἀκρόπολιν τηρούντων μάχεσθαι, εἰ καὶ
with the(-men) the citadel guarding to-fight if also
ὑμῖν τοῦτο συνδόξειε. τοῖς δέ γε λοιποῖς μετὰ τῶν
to-you this should-seem-good to-the and at-least rest with the
ἔξωθεν μελήσει καρτερῶς συμπλέκεσθαι.” συντίθενται
outside it-will-be-a-care strongly to-grapple agree
ἅπαντες τῇ τοῦ Βαϊμούντου γνώμῃ. ὁ δ’ εὐθὺς
all to-the — of-Bohemond opinion he and at-once
ἔργου ἥψατο καὶ παραχρῆμα τειχίον ἀντίθετον ἐγκάρσιον
work set-to and immediately a-small-wall opposing transverse
ἀποδιαιροῦν τῆς ὅλης Ἀντιοχείας τὴν ἀκρόπολιν ἐδείματο,
separating from-the whole Antioch the citadel built
ἔρυμα καρτερώτατον πολέμου ἀποχρῶντος. κᾆθ’ οὕτως
a-bulwark strongest war sufficing and-then thus
ἀνύστακτος φύλαξ τοῦ τοιούτου τείχους καθίστατο διὰ
sleepless guard of-the such wall was-set-up through
παντὸς ἀπομαχόμενος, ὁπηνίκα καιρὸς ἐδίδου, πρὸς τοὺς
all fighting-off whenever occasion gave against the
ἐντὸς γενναιότατα. οἱ δ’ ἄλλοι κόμητες πολλὴν τοῦ
inside most-nobly the and other counts much of-the
λάχους αὐτῶν ἐπεποίηντο τὴν φροντίδα φρουροῦντες μὲν
lot their had-made the care guarding indeed
τὴν πόλιν διὰ παντός, κατασκοποῦντες δὲ τὰς ἐπάλξεις
the city through all watching and the battlements
καὶ τὰ κρήδεμνα τῶν τειχῶν, μή πως οἱ βάρβαροι
and the parapets of-the walls lest somehow the barbarians

ἔξωθεν νυκτὸς διὰ κλιμάκων ἀνελθόντες τὴν πόλιν
from-outside by-night by ladders having-come-up the city
κατάσχωσι, μὴ λάθοι τις τῶν ἐντὸς ἄνωθεν τοῦ
might-seize lest might-escape-notice someone of-the inside above the
τείχους γενέσθαι κᾆθ' οὕτως ὁμιλήσας τοῖς βαρβάροις
wall to-get and-then thus having-conversed with-the barbarians
προδοσίας πέρι προδῷ τὴν πόλιν.
betrayal about he-might-betray the city

V · JOHN DOUKAS WINS BACK THE COAST

Before he can march to Antioch, Alexios must deal with Tzachas and the coastal emirs. John Doukas, carrying Tzachas' daughter to prove that Nicaea has fallen, goes by land and Kaspax by sea. Smyrna yields on terms. A Saracen accused before Kaspax stabs him, and the fleet massacres the city. Doukas leaves Hyaleas as duke, defeats Tangripermes and Marakes at Ephesus, takes Sardis, Philadelphia, Laodikeia, and Lampe, where he leaves Kamytzes, and routs the Turks at Polybotos.

Ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τὴν Ἀντιόχειαν ἔτι·
but these(-things) indeed the(-affairs) concerning — Antioch still
ὁ δέ γε αὐτοκράτωρ πολλὴν μὲν εἶχε τὴν προθυμίαν
the and at-least autocrat much indeed had the eagerness
αὐτὸς εἰς ἀρωγὴν τῶν Κελτῶν παραγενέσθαι, ἀπεῖργε
himself for aid of-the Celts to-come restrained
δ' αὐτὸν καίπερ σφαδάζοντα ἡ τῶν κατὰ θάλατταν
and him although struggling the of-the along sea
διακειμένων πόλεών τε καὶ χωρῶν λεηλασία καὶ παντελὴς
lying cities both and lands plundering and utter
ἐρίπωσις. ὁ μὲν γὰρ Τζαχᾶς τὴν Σμύρνην ὥσπερ
destruction — indeed for Tzachas — Smyrna like
ἴδιόν τι λάχος κατεῖχεν, ὁ δέ γε Ταγγριπερμῆς
own some lot held — and at-least Tangripermes

καλούμενος πόλιν τινὰ Ἐφεσίων ἀγχοῦ τῆς θαλάττης
called city some of-Ephesians near the sea
διακειμένην, ἐν ᾗ πάλαι τέμενος ἐπ᾽ ὀνόματι Ἰωάννου
lying in which long-ago a-shrine in name of-John
ἀποστόλου τοῦ θεολόγου ἵδρυτο. καὶ ἄλλος ἄλλα
apostle the theologian had-been-founded and other other
φρούρια τῶν σατραπῶν κατέχοντες ὡς ἀργυρωνήτοις τοῖς
forts of-the satraps holding as bought-with-silver the
Χριστιανοῖς ἐκέχρηντο ἅπαντα ληζόμενοι· ἀλλὰ καὶ αὐτὰς
Christians treated all plundering but also themselves
δὴ τὰς νήσους Χίον τε καὶ Ῥόδον καὶ τὰς ἐπιλοίπους
indeed the islands Chios both and Rhodes and the remaining
πάσας κατέσχον ληστρικὰς ἐκεῖθεν κατασκευάσαντες
all they-held pirate from-there having-built
ναῦς. διά τοι ταῦτα δεῖν ἐλογίσατο πρότερον
ships because-of surely these(-things) to-be-needful he-reckoned first
τῶν κατὰ θάλατταν καὶ τὸν Τζαχᾶν πρόνοιαν
of-the(-places) along sea and — Tzachas forethought
ποιήσασθαι καὶ δυνάμεις διὰ ξηρᾶς ἀρκούσας καὶ στόλον
to-make and forces by land sufficient and fleet
ἱκανὸν καταλιπεῖν, εἶτα δι᾽ αὐτῶν τὰς τῶν βαρβάρων
considerable to-leave then through them the of-the barbarians
ἀναχαιτίζειν ὁρμὰς καὶ ἀντικαθίστασθαι αὐτοῖς κᾆθ᾽
to-check onslaughts and to-stand-against them and-then
οὕτως μετὰ τοῦ λοιποῦ στρατεύματος τῆς πρὸς Ἀντιόχειαν
thus with the rest army the to Antioch
φερούσης ἄψασθαι μετὰ τῶν ἀναμεταξὺ βαρβάρων ὡς
leading(-road) to-take-to with the in-between barbarians as
ἐνὸν μαχόμενος. μεταπεμψάμενος τοίνυν Ἰωάννην τὸν
being-possible fighting having-summoned therefore John the
Δούκαν καὶ γυναικάδελφον αὐτοῦ παραδίδωσι δυνάμεις ἐκ
Doukas and wife's-brother his hands-over forces from

διαφόρων συνειλεγμένας χωρῶν καὶ στόλον ἀποχρῶντα
various collected lands and fleet sufficient
πρὸς τὴν τῶν παραλίων πόλεων πολιορκίαν καὶ αὐτὴν δὲ
for the of-the coastal cities siege and herself too
τὴν τοῦ Τζαχᾶ θυγατέρα κατασχεθεῖσαν μετὰ τῶν ἄλλων,
the — of-Tzachas daughter captured with the others
ὁπόσοι ἐντὸς τῆς Νικαίας τότε ἔτυχον, ἐπισκήψας
as-many-as within — Nicaea then happened(-to-be) having-enjoined
διακηρυκεύειν μὲν πανταχοῦ τὴν τῆς Νικαίας ἅλωσιν,
to-proclaim indeed everywhere the — of-Nicaea capture
εἰ δὲ μὴ πιστεύοιτο, αὐτὴν τὴν τοῦ Τζαχᾶ θυγατέρα
if and not it-should-be-believed herself the — of-Tzachas daughter
ὑποδεικνύναι τοῖς σατράπαις τῶν Τούρκων καὶ τοῖς τὰ
to-show to-the satraps of-the Turks and to-the the(-lands)
παρὰ θάλατταν νεμομένοις βαρβάροις, ὡς ἂν οἱ
by sea inhabiting barbarians so-that — the(-men)
τὰς ἤδη ῥηθείσας πόλεις κατέχοντες ὁρῶντες ταύτην
the already mentioned cities holding seeing her
καὶ βεβαιούμενοι τὴν τῆς Νικαίας ἅλωσιν ἀπογνόντες
and confirming the — of-Nicaea capture having-despaired
ἀμαχητὶ παραδοῖεν τὰς πόλεις. ἐφοδιάσας οὖν ἱκανῶς
without-battle might-hand-over the cities having-provisioned then sufficiently
διὰ παντοίων τὸν Ἰωάννην ἐκπέμπει. ὁπόσα δὲ κατὰ τοῦ
with all-kinds — John sends-out how-many and against —
Τζαχᾶ τρόπαια οὗτος ἐστήσατο καὶ ὅπως τοῦτον ἐκεῖθεν
Tzachas trophies this-man set-up and how him from-there
ἀπήλασε, προϊὼν ὁ λόγος δηλώσειεν. ὁ μὲν οὖν δοὺξ
drove-off proceeding the account will-show the indeed then duke
καὶ θεῖος οὑμὸς πρὸς μητρὸς τῷ βασιλεῖ συνταξάμενος
and uncle my on mother's(-side) to-the emperor having-taken-leave
τῆς μεγαλοπόλεως ἔξεισι καὶ διαπεράσας τὴν Ἄβυδον
the great-city goes-out and having-crossed — Abydos

μεταπεμψάμενος τὸν καλούμενον Κάσπακα τήν τε τοῦ
having-summoned the called Kaspax the both of-the
στόλου ἐξουσίαν καὶ τὴν τοῦ πλοὸς ἅπασαν οἰκονομίαν
fleet authority and the of-the voyage all management
αὐτῷ ἀνέθετο ὑποσχόμενος ὡς, εἰ καλῶς ἀγωνίσοιτο,
to-him entrusted having-promised that if well he-should-contend
ὁπηνίκα τὴν Σμύρνην συμβαίη ἁλῶναι, ἡγεμόνα τοῦτον
when — Smyrna it-should-happen to-be-taken governor him
αὐτῆς τε τῆς Σμύρνης καὶ τῶν ὁμορούντων πάντων
itself both — of-Smyrna and of-the bordering all
αὐτῇ καταστῆσαι. ἐκπέμπει τοίνυν αὐτὸν διαπόντιον
on-it to-appoint sends-out therefore him overseas
θαλασσοκράτορα τοῦ στόλου, ὡς εἴρηται· ἐκεῖνον δὲ
sea-commander of-the fleet as has-been-said him and
ταγματάρχην εἶχεν ἡ ἤπειρος. ἅμα τοίνυν τόν τε
commander had the mainland at-the-same-time therefore — both
Κάσπακα διὰ τοῦ στόλου καὶ τὸν Δούκαν Ἰωάννην διὰ τῆς
Kaspax by the fleet and — Doukas John by the
ἠπείρου οἱ ἐντὸς τῇ Σμύρνῃ ἄμφω προσπελάσαντας
mainland the(-men) inside — in-Smyrna both having-approached
θεασάμενοι καὶ τὸν μὲν Δούκαν ἀγχοῦ τῶν τειχῶν
having-beheld and — indeed Doukas near the walls
ἐκ διαστήματός τινος τὸν χάρακα πηξάμενον, τὸν δέ
at distance some the palisade having-pitched — and
γε Κάσπακα τῷ λιμένι προσοκείλαντα, ἐπεὶ καὶ ἡ
at-least Kaspax to-the harbor having-put-in since also the
τῆς Νικαίας ἅλωσις ἤδη ἐγνώσθη αὐτοῖς, οὐδ' ὅλως
— of-Nicaea capture already was-known to-them not-even at-all
ἀντικαταστῆναι τούτοις ἠθέλησαν, ἀλλ' εἰς λόγους καὶ
to-oppose them they-wished but into words and
σπονδὰς εἰρηνικὰς ἐλθεῖν ᾑρετίσαντο ὑποσχόμενοι, εἴπερ
treaties peaceful to-come they-chose promising if

ὁμωμοκέναι αὐτοῖς ὁ Δούκας Ἰωάννης θελήσει, ὥστε
to-have-sworn to-them — Doukas John should-wish so-as
παραχωρῆσαι ἀπαθεῖς κακῶν πρὸς τὰ οἴκοι τούτους
to-allow unharmed of-ills to the(-places) at-home them
ἐπαναζεῦξαι, ἀναιμωτὶ καὶ μάχης ἄτερ τὴν Σμύρνην
to-return bloodlessly and battle without — Smyrna
αὐτῷ παραδοῦναι. συντίθεται τοίνυν ὁ Δούκας τηνικαῦτα
to-him to-hand-over agrees therefore — Doukas then
τῇ τοῦ Τζαχᾶ γνώμῃ τὰ κατὰ σκοπὸν ἅπαντα
to-the — of-Tzachas mind the(-things) according-to purpose all
πληρῶσαι ὑποσχόμενος. μετ' εἰρήνης οὖν ἐκεῖθεν αὐτοὺς
to-fulfill having-promised with peace then from-there them
ἀπελάσας τῷ Κάσπακι τὴν πᾶσαν ἐξουσίαν τῆς Σμύρνης
having-sent-off — to-Kaspax the whole authority — of-Smyrna
ἀνέθετο. γίνεται δέ τι κατὰ συντυχίαν τοιοῦτον.
entrusted happens and something by chance such
τοῦ Κάσπακος ἀπὸ τοῦ Δούκα Ἰωάννου ὑποστρέφοντος,
— of-Kaspax from — Doukas John returning
προσῆλθεν αὐτῷ Σμυρναῖος τις διεγκαλῶν ἀφαιρεθῆναι
came to-him Smyrnaean a-certain accusing to-have-been-robbed
παρά του Σαρακηνοῦ χρυσίνους πεντακοσίους στατῆρας.
by some Saracen gold five-hundred staters
ὁ δὲ ἀχθῆναι τούτους κριθησομένους ἐπέταξεν· ὡς δ'
he and to-be-brought them going-to-be-judged ordered when and
ὁ Σύρος εἵλκετο, νομίσας, ὡς ἐπὶ τῷ ἀναιρεθῆναι
the Syrian was-being-dragged having-supposed that for the to-be-killed
ἄγεται, καὶ ἀπογνοὺς τῆς ἑαυτοῦ σωτηρίας σπασάμενος
he-is-led and having-despaired-of the his-own safety having-drawn
μάχαιραν κατὰ τῶν σπλάγχνων τοῦ Κάσπακος ὠθεῖ·
dagger into the bowels — of-Kaspax thrusts
ἐπιστραφεὶς δὲ πλήττει καὶ τὸν τούτου ὁμαίμονα περὶ τὸν
having-turned and strikes also the his kinsman in the

μηρόν. συγχύσεως δ' ἐπὶ τούτῳ γενομένης πολλῆς, ὁ μὲν
thigh confusion and at this having-arisen great the indeed
Σαρακηνὸς ἀποδιδράσκει, οἱ δὲ τοῦ στόλου ἅπαντες
Saracen runs-away the(-men) and of-the fleet all
σὺν αὐτοῖς ἐρέταις εἰς τὴν πόλιν ἀτάκτως εἰσῄεσαν καὶ
with themselves rowers into the city in-disorder went-in and
πάντας ἀνηλεῶς ἀπέκτεινον. καὶ ἦν ἰδεῖν θέαμα ἐλεεινὸν
all pitilessly killed and it-was to-see sight pitiable
ὡσεὶ δέκα χιλιάδας ἀποκτανθέντας ἐν ὀξείᾳ καιροῦ ῥοπῇ.
about ten thousands killed in swift of-time turn
ὁ δὲ Δούκας Ἰωάννης περιαλγήσας ἐπὶ τῇ τοῦ Κάσπακος
— and Doukas John grieving-greatly at the — of-Kaspax
ἀναιρέσει ἐφ' ἱκανὸν ὅλος αὖθις τῆς τοῦ κάστρου
killing for considerable(-time) whole again of-the of-the fortress
φροντίδος ἐγεγόνει. ἐξελθὼν τοίνυν καὶ περιαθρήσας
care had-become having-gone-out therefore and having-surveyed
τὰ τείχη τάς τε τῶν ἐποίκων γνώμας παρὰ τῶν
the walls the both of-the settlers minds from the
εἰδότων ἀκριβωσάμενος, ἐπεὶ χρεία γενναίου ἦν ἀνδρός,
knowing(-ones) having-ascertained since need of-a-noble was man
τὸν Ὑαλέαν, φέριστον τῶν ἄλλων εἰδώς, δοῦκα τῆς
— Hyaleas bravest of-the others knowing duke —
Σμύρνης κατέστησεν· ἀνὴρ δὲ οὗτος ἀρειμάνιος. καταλιπὼν
of-Smyrna appointed man and this warlike having-left
δὲ καὶ τὸ ναυτικὸν ἅπαν εἰς φυλακὴν τῆς Σμύρνης
and also the naval(-force) all for guard — of-Smyrna
αὐτὸς τὰς δυνάμεις ἀναλαβόμενος πρὸς τὴν Ἐφεσίων
he the forces having-taken toward the(-city) of-Ephesians
ἤλαυνε παρὰ τοῦ Ταγγριπερμῆ καὶ τοῦ Μαράκη τῶν
marched by — Tangripermes and — Marakes the
σατραπῶν κατεχομένην. τοῦτον θεασάμενοι οἱ βάρβαροι
satraps held this-man having-beheld the barbarians

κατ᾽ αὐτῶν ἱέμενον, ὁπλισάμενοι καὶ σχῆμα πολέμου
against them hastening having-armed and form of-war
περὶ τὴν ἔξω τοῦ κάστρου πεδιάδα διατυπώσαντες τὰς
around the outside of-the fortress plain having-arranged the
φάλαγγας ἔστησαν. ὁ δὲ δοὺξ μηδὲ μικρόν τι μελλήσας
phalanxes they-stood the and duke not-even small any having-delayed
σὺν εὐταξίᾳ στρατιωτικῇ κατ᾽ αὐτῶν ἐξώρμησε. τῆς
with discipline military against them rushed the
γοῦν συμβολῆς τοῦ πολέμου γεγονυίας τὸ πλεῖον
at-any-rate encounter of-the war having-happened the greater
τῆς ἡμέρας παρῳχήκει· μαχομένων δ᾽ ἀμφοτέρων τῶν
of-the day had-passed fighting and both the
μερῶν καὶ τῆς μάχης οὔσης ἀμφιρρεποῦς οἱ Τοῦρκοι
sides and the battle being evenly-balanced the Turks
τὰ νῶτα ὑποσχόντες τρέπονται κατὰ κράτος. κτείνονται
the backs having-turned are-routed by force are-killed
δὲ τηνικαῦτα πολλοί, ἁλίσκονται δὲ οὐ τῶν τυχαίων
and then many are-captured and not of-the chance(-men)
μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν σατραπῶν οἱ πλείους,
only but also themselves the satraps the most
ὡς συμποσοῦσθαι τοὺς ἑαλωκότας εἰς χιλιάδας δύο.
so-that to-amount the captured to thousands two
περὶ ὧν μεμαθηκὼς ὁ βασιλεὺς διασπαρῆναι τούτους
about which having-learned the emperor to-be-dispersed them
εἰς τὰς νήσους προσέταξεν. οἱ δὲ καταλειφθέντες τῶν
to the islands ordered the and left-behind of-the
Τούρκων διὰ τοῦ ποταμοῦ Μαιάνδρου πρὸς τὸ Πολυβοτὸν
Turks by the river Maeander to — Polybotos
ἀπερχόμενοι καταφρονητικῶς διετέθησαν τὸν Δούκαν
going-off contemptuously were-disposed — Doukas
τέλεον ἀπελπίσαντες. τὸ δὲ οὐχ οὕτως εἶχεν, ἀλλὰ
utterly having-despaired-of the(-matter) and not thus was but

τὸν Πετζέαν δοῦκα ταυτησὶ τῆς πόλεως καταλιπὼν αὐτὸς
— *Petzeas duke this-here of-the city having-left he*
τὸ ὁπλιτικὸν ἅπαν ἀναλαβόμενος παραυτίκα ὄπισθεν
the heavy-armed-force whole having-taken immediately behind
οὐ φύρδην, ἀλλ᾽ εὐτάκτως καὶ ὡς ἐχρῆν ἐμπειρότατον
not confusedly but in-good-order and as was-needful most-experienced
στρατηγὸν κατὰ τῶν ἐναντίων ἰέναι ἤλαυνε κατὰ τὰς
general against the opponents to-go marched according-to the
ὑποθημοσύνας τοῦ αὐτοκράτορος. οἱ μέντοι Τοῦρκοι, καθά
instructions of-the autocrat the however Turks as
γε εἴρηται, διά τε Μαιάνδρου καὶ τῶν παρακειμένων
at-least has-been-said through both Maeander and the adjacent
αὐτῷ πόλεων ὁδεύσαντες καταλαμβάνουσι τὸ Πολυβοτόν.
to-it cities having-traveled reach — Polybotos
ὁ δὲ δοὺξ οὐ κατὰ πόδας τούτους ἐδίωκεν, ἀλλὰ
the and duke not at heels them pursued but
τὴν συντομωτέραν ὁδεύσας τάς τε Σάρδεις καὶ τὴν
the shorter(-road) having-traveled — both Sardis and —
Φιλαδέλφειαν ἐξ ἐπιδρομῆς κατέσχε τὴν τούτων φρουρὰν
Philadelphia by assault seized the their guard
Μιχαὴλ τῷ Κεκαυμένῳ πιστεύσας. καταλαβὼν δὲ τὴν
to-Michael the Kekaumenos having-entrusted having-reached and —
Λαοδίκειαν καὶ πάντων παραυτίκα προσεληλυθότων αὐτῷ
Laodikeia and all immediately having-come-over to-him
αὐτοῖς μὲν ὡς αὐτομόλοις χρησάμενος καὶ τεθαρρηκὼς
them indeed as deserters having-treated and having-taken-courage
ἀνετῶς τὰ σφέτερα κατοικεῖν εἴασε μηδὲ ἡγεμόνα
freely the own(-homes) to-inhabit allowed not-even governor
ἐπιστήσας. ἐκεῖθεν δὲ διὰ τοῦ Χώματος διελθὼν τὴν
having-set from-there and through — Choma having-passed —
Λάμπην κατέλαβε κἀν ταύτῃ καὶ τὸν Καμύτζην Εὐστάθιον
Lampe seized and-in this also — Kamytzes Eustathios

στρατηγὸν ἐπέστησεν. ἐφθακὼς δὲ εἰς τὸ Πολυβοτὸν
general appointed having-arrived and at — Polybotos
καταλαμβάνει Τούρκων πλῆθος πολὺ καὶ ἐπεισπεσὼν αὐτοῖς
finds of-Turks multitude great and having-fallen-upon them
ἄρτι τὰς σκευὰς κατατιθεμένοις ξυμβαλὼν παραυτίκα
just-now the baggage depositing having-engaged immediately
νικᾷ κατὰ κράτος καὶ κτείνει μὲν πολλούς, ἀναλαμβάνει
conquers by force and kills indeed many takes
δὲ λείαν πολλὴν καὶ τοῦ πλήθους ἀνάλογον.
and booty much and to-the multitude proportionate

VI · THE HOLY LANCE AND JERUSALEM

At Philomelion fugitives from Antioch tell Alexios that the Latins are lost, and with Ismael's army coming from Khorasan he turns back, bringing the Christians of the region with him; Ismael, cheated of his prey, besieges Paipert. In Antioch Peter the bishop calls the Latins to repentance, and a nail is found beside the altar and given to Saint-Gilles. Flandras rides out first, and Kourpagan's army flees and drowns in the river. Bohemond is given Antioch, and the rest take Jerusalem in a month and make Godfrey king.

Τούτου γοῦν μήπω ἐπανεληλυθότος, ἀλλ' ἀγωνιζομένου
he at-any-rate not-yet having-returned but contending
κατὰ τῶν Τούρκων, ὁ βασιλεὺς ἑτοιμασθεὶς εἰς ἀρωγὴν
against the Turks the emperor having-prepared for aid
τῶν περὶ τὴν Ἀντιόχειαν φθάσαι Κελτῶν, ἐπεὶ τὸ
of-the around — Antioch to-arrive Celts when —
Φιλομήλιον κατέλαβε σὺν ὅλαις δυνάμεσι πολλοὺς ἐν
Philomelion he-reached with whole forces many in
τῷ μεταξὺ κτείνας βαρβάρους, πολλὰς δὲ καὶ πόλεις
the meantime having-killed barbarians many and also cities

δηωσάμενος ὑπ᾽ αὐτῶν πρὶν κατεχομένας, φθάνει τηνικαῦτα
having-ravaged by them before held reaches then
τοῦτον ἐξ Ἀντιοχείας Γελίελμος ὁ Γραντεμανῆ καὶ
him from Antioch William the Grandmesnil and
Στέφανος κόμης Φραγγίας καὶ Πέτρος ὁ τοῦ Ἀλίφα
Stephen count of-France and Peter the — of-Aliphas
χαλασθέντες καλῳδίοις διὰ τῶν κρηδέμνων Ἀντιοχείας καὶ
let-down by-ropes over the battlements of-Antioch and
διὰ τῆς Ταρσοῦ ἀφικόμενοι διαβεβαιοῦντο εἰς στενὸν
through — Tarsus having-come affirmed into strait
κομιδῇ συνελαθῆναι τοὺς Κελτούς, καὶ ἐπομνύμενοι τὴν
utterly to-have-been-driven the Celts and swearing-to the
αὐτῶν παντελῆ πτῶσιν. ὁ δὲ βασιλεὺς διὰ τοῦτο
their utter fall the and emperor because-of this
καὶ μᾶλλον εἰς βοήθειαν αὐτῶν ἐσκόπει ταχῦναι, κἂν
even more to help of-them considered to-hasten even-if
ἅπαντες αὐτὸν τῆς τοιαύτης ὁρμῆς ἀνέκοπτον. ἐπεὶ
all him from-the such impulse checked since
δὲ βαρβάρων κατ᾽ αὐτοῦ ἔφοδος ἀμυθήτων ἁπανταχῇ
and of-barbarians against him attack countless everywhere
διεκηρυκεύετο, ἐπικαταλαμβάνειν αὐτὸν ἤδη (καὶ γὰρ
was-proclaimed to-be-overtaking him already and for
ὁ τοῦ Χοροσὰν σουλτὰν τὴν τοῦ αὐτοκράτορος ὑπὲρ
the — of-Khorasan sultan the of-the autocrat for
τῶν Κελτῶν μεμαθηκὼς ἀπέλευσιν τὸν ἴδιον υἱὸν Ἰσμαὴλ
the Celts having-learned departure the own son Ismael
τὴν κλῆσιν ἀπείρους δυνάμεις ἀπό τε τοῦ Χοροσὰν ἀπό
by-the name countless forces from both — Khorasan from
τε τῶν πορρωτέρων μερῶν συναγαγὼν καὶ καρτερῶς
and the more-distant parts having-gathered and strongly
ἐξοπλίσας ἅπαντας κατ᾽ αὐτοῦ ἐξέπεμψεν ἐντειλάμενος
having-armed all against him sent-out having-enjoined

τάχος τὸν αὐτοκράτορα ἐφθακέναι πρὸ τοῦ τὴν Ἀντιόχειαν
quickly the autocrat to-have-overtaken before the — Antioch
καταλαβεῖν), τὴν μὲν δὴ ὁρμὴν τοῦ αὐτοκράτορος, ἣν
to-reach the indeed truly impulse of-the autocrat which
εἶχεν ὑπὲρ τῆς τῶν Κελτῶν σωτηρίας διαχρήσασθαί τε
he-had for the of-the Celts safety to-destroy and
σπεύδων τοὺς κατ᾽ αὐτῶν λυττῶντας Τούρκους καὶ αὐτὸν
hastening the against them raging Turks and himself
δὴ τὸν τούτων ἡγεμόνα Κουρπαγάν, ἐπέσχε τὰ
indeed the their leader Kourpagan checked the(-things)
διαμηνυθέντα ὑπό τε τῶν ἐληλυθότων Φράγγων ὑπό τε
reported by both the having-come Franks by and
τῶν τὴν τοῦ Ἰσμαὴλ κατ᾽ αὐτοῦ μηνυσάντων ἔλευσιν·
the(-men) the — of-Ismael against him having-announced coming
λογισμὸν δὲ τὸν εἰκότα περὶ τοῦ μέλλοντος λαμβάνων, ὡς
reckoning and the reasonable about the future taking that
ἀμήχανον εἴη πρᾶγμα σῶσαι πόλιν ἄρτι μὲν ὑπὸ τῶν
impossible would-be thing to-save a-city just indeed by the
Κελτῶν ἁλοῦσαν, ἀστατοῦσαν δ᾽ ἔτι κἀκ τῶν ἔξωθεν
Celts taken unsettled and still and-from the outside
ὑπὸ τῶν Ἀγαρηνῶν αὐτίκα πολιορκουμένην, τῶν Κελτῶν
by the Hagarenes at-once being-besieged the Celts
τὰς σῳζούσας ἀπεγνωκότων ἐλπίδας καὶ βουλευομένων
the saving having-despaired-of hopes and planning
τοῦ μὲν τείχους ἐρήμου παραχωρῆσαι τοῖς πολεμίοις,
the indeed wall empty to-yield to-the enemies
ἑαυτοὺς δὲ μόνους περισῶσαι διὰ φυγῆς. ἔστι μὲν γὰρ
themselves and alone to-save through flight is indeed for
τὸ τῶν Κελτῶν γένος μετὰ τῶν ἄλλων αὐτόνομόν τε καὶ
the of-the Celts race with the others independent both and
ἀξύμβουλον, στρατηγικῇ δὲ εὐταξίᾳ καὶ ἐπιστήμῃ μηδέποτε
heedless-of-counsel strategic and order and skill never

χρώμενον, ἀλλ᾽ ἐπειδὰν μάχη καὶ πόλεμος παρασταίη,
using but whenever battle and war should-be-at-hand
περιυλακτοῦντος αὐτοῖς τοῦ θυμοῦ ἀκάθεκτοί τέ εἰσιν
barking-around in-them the anger unrestrainable and they-are
οὐ τὸ στρατιωτικὸν μόνον, ἀλλὰ καὶ αὐτοὶ ἡγεμόνες,
not the soldiery only but also themselves leaders
ὡς ἐς μέσας φάλαγγας τῶν πολεμίων εἰσπίπτοντες
as into middle phalanxes of-the enemies falling-on
ἀφόρητοι, εἰ ὅλως τὸ ἀντικαθιστάμενον ὑποχαλάσειεν· εἰ
unbearable if at-all the opposing(-force) should-give-way if
δὲ στρατιωτικαῖς ἐμπειρίαις λόχους οἱ πολέμιοι πολλάκις
and with-military skills ambushes the enemies often
καταστήσαιεν καὶ τεχνικῶς αὐτοὺς μετελεύσονται, εἰς
should-set and skillfully them will-pursue into
τοὐναντίον πᾶν τὸ θράσος αὐτοῖς περιίσταται. τὸ γὰρ ὅλον
the-opposite all the boldness for-them turns the for whole
εἰπεῖν, εἰς πρώτους ῥυτῆρας ἀνύποιστοί εἰσιν οἱ Κελτοί,
to-say at first reins irresistible are the Celts
τὸ δέ γε μετὰ ταῦτα καὶ λίαν εὐχείρωτοι διά
the(-thing) and at-least after these(-things) also very easy-to-handle because-of
τε τὸ τῶν ὅπλων βάρος καὶ τὸ τῆς γνώμης θυμοειδὲς
both the of-the arms weight and the of-the mind high-spirited(-part)
καὶ ἀλόγιστον. διὰ ταῦτα μήτε ἀποχρώσας πρὸς
and reckless(-part) because-of these(-things) neither sufficient against
τοσαῦτα πλήθη δυνάμεις ἔχων μήτε τὰς τῶν Κελτῶν
so-great multitudes forces having nor the of-the Celts
γνώμας μεταβαλεῖν μήτε ξυμβουλῇ τούτους βελτίονι εἰς
minds to-change nor by-counsel them better to
τὸ ξυμφέρον μετενεγκεῖν δυνάμενος δέον ἐλογίζετο μὴ
the advantageous to-bring-over being-able needful he-reckoned not
προσωτέρω χωρεῖν, ἵνα μὴ εἰς τὴν τῆς Ἀντιοχείας ἀρωγὴν
farther to-advance that not into the — of-Antioch aid

ἐπειγόμενος καὶ τὴν Κωνσταντίνου προσαπολέσειε.
hastening also the(-city) of-Constantine he-should-lose-besides
πτοηθεὶς δέ, μὴ ἐπικαταλαμβανόντων αὐτὸν ἤδη
having-been-frightened and lest overtaking him already
Τουρκικῶν ἀμυθήτων λαῶν οἱ ἔποικοι τῶν μερῶν
Turkish countless peoples the settlers of-the parts
Φιλομηλίου παρανάλωμα βαρβαρικῆς γένωνται μαχαίρας,
of-Philomelion a-casualty of-barbarian should-become sword
εἰς νοῦν βάλλεται διακηρυκεῦσαι μὲν ἁπανταχῆ τὴν τῶν
into mind he-puts to-proclaim indeed everywhere the of-the
Ἀγαρηνῶν ἔφοδον· καὶ παραυτίκα διεκηρυκεύετο καὶ ὅτι
Hagarenes attack and immediately it-was-proclaimed also that
ἕκαστος ἢ ἑκάστη προεξελθέτω τῆς τούτων ἐλεύσεως τὰ
each-man or each-woman let-go-forth-before the their coming the
σώματα αὐτὰ καὶ τὰ χρήματα, ὁπόσα φέρειν δύνανται,
bodies themselves and the goods as-many-as to-carry they-can
διασῴζοντες. εἵλοντο μὲν οὖν εὐθὺς ἅπαντες συνέψεσθαι
saving chose indeed then at-once all to-follow-with
τῷ βασιλεῖ, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ αὐταὶ γυναῖκες.
the emperor not men only but also themselves women
*** οὕτω μὲν οὖν τὰ τῶν αἰχμαλώτων ᾠκονόμητο
(lacuna) thus indeed then the(-affairs) of-the captives had-been-arranged
τῷ βασιλεῖ. μέρος δὲ τοῦ στρατιωτικοῦ ἀποτεμόμενος
by-the emperor part and of-the soldiery having-cut-off
καὶ τοῦτο εἰς πολλὰ διελὼν ἐν πολλοῖς μέρεσι κατὰ
and this into many having-divided in many parts against
τῶν Ἀγαρηνῶν ἐξαπέστειλεν, εἴ που προεκδρομάς τινας
the Hagarenes sent-off if anywhere sallies some
ποιουμένους τοὺς Τούρκους εὕροιεν, ξυμμίγνυσθαί τε
making the Turks they-should-find to-engage both
αὐτοῖς καὶ καρτερῶς μαχομένους ἀναστέλλειν τὴν κατὰ
with-them and strongly fighting to-check the against

τοῦ αὐτοκράτορος ἔφοδον. αὐτὸς δὲ μετὰ παντὸς τοῦ λαοῦ
the autocrat attack he and with all the people
τῶν τε ἑαλωκότων βαρβάρων καὶ τῶν προσκεχωρηκότων
the both captured barbarians and the having-come-over
Χριστιανῶν ἐπαναζεύγνυσι πρὸς τὴν βασιλεύουσαν. ὁ
Christians returns to the reigning(-city) the
δέ γε ἀρχισατράπης Ἰσμαὴλ μεμαθηκὼς περὶ τοῦ
and at-least chief-satrap Ismael having-learned about the
αὐτοκράτορος, ὅτι τῆς Κωνσταντίνου ἐξεληλυθὼς
autocrat that from-the(-city) of-Constantine having-gone-out
πολλὴν μὲν ἀνδροκτασίαν πεποιηκώς, πολλὰς δὲ καὶ
much indeed slaughter having-made many and also
κωμοπόλεις ἐν τῷ διέρχεσθαι παντελῶς ἐριπώσας πολλήν
towns in the passing-through utterly having-destroyed much
τε λείαν καὶ δορυαλώτους ἀναλαβόμενος ἐπαναζεύγνυσι
both booty and captives having-taken returns
πρὸς τὴν βασιλεύουσαν μηδὲν ἔργον αὐτῷ καταλελοιπώς,
to the reigning(-city) no work to-him having-left
ὡς τῆς ἄγρας ἀπέγνω, ἐν ἀμηχάνοις καθίστατο καὶ ἐφ'
when of-the prey he-despaired in perplexities was-placed and to
ἑτέραν τραπόμενος τὸ Παΐπερτ πολιορκῆσαι ἐπέγνω,
another(-course) having-turned — Paipert to-besiege decided
ὅπερ πρὸ μικροῦ κατασχὼν εἶχεν ὁ περίκλυτος ἐκεῖνος
which before little having-seized held the famous that
Γαβρᾶς Θεόδωρος, καὶ καταλαβὼν τὸν ἀγχοῦ τούτου
Gabras Theodore and having-reached the near it
ῥέοντα ποταμὸν ἅπαν ἐκεῖ τὸ στρατιωτικὸν κατέθετο.
flowing river all there the soldiery he-placed
τοῦτο μεμαθηκὼς ὁ Γαβρᾶς διεσκοπεῖτο νυκτὸς ἐπεισπεσεῖν
this having-learned — Gabras considered by-night to-fall-upon
αὐτῷ. ἀλλ' ὁποῖον μὲν πέρας τὰ κατὰ τὸν
him but what-sort-of indeed end the(-affairs) concerning —

Γαβρᾶν ἔσχηκε καὶ ὅθεν οὗτος ὥρμητο καὶ ὁποῖος ἦν,
Gabras had and whence he came and what-sort he-was
ταμιευσάσθω ὁ λόγος ἐς τὸν προσήκοντα τόπον· τὰ
let-reserve the account for the fitting place for-the
νῦν δ' ἐχέσθω τοῦ προκειμένου. οἱ δέ γε Λατῖνοι
now and let-it-keep-to the matter-at-hand the and at-least Latins
ὑπό τε λιμοῦ καὶ συνεχοῦς πολιορκίας δεινῶς πιεζόμενοι
by both famine and continual siege terribly pressed
προσεληλυθότες τῷ εἰς Ἑλενούπολιν τότε ἡττηθέντι Πέτρῳ
having-come-to the at Helenoupolis then defeated Peter
τῷ ἐπισκόπῳ αὐτῶν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν,
the bishop their as the account having-anticipated showed
ᾐτοῦντο βουλὴν ἐξ αὐτοῦ. ὁ δὲ πρὸς αὐτοὺς "ἁγνούς"
asked counsel from him he and to them pure
φησι "τηρῆσαι ἑαυτοὺς ὑποσχόμενοι, μέχρις ἂν τὴν
he-says to-keep yourselves having-promised until — —
Ἰερουσαλὴμ καταλάβητε, παρέβητε, οἶμαι, τὴν ὑπόσχεσιν.
Jerusalem you-reach you-transgressed I-think the promise
διὰ τοῦτο νῦν ὑμῖν οὐκ ἐπαρήγει ὡς τὸ πρότερον
because-of this now you not helps as the before
ὁ θεός. δεῖ οὖν ἐπιστραφῆναι πρὸς τὸν κύριον καὶ
— God it-is-needful then to-turn to the Lord and
τὰς σφῶν ἀποκλαύσασθαι ἁμαρτίας ἐν σάκκῳ καὶ σποδῷ
the your to-bewail sins in sackcloth and ashes
καὶ δάκρυσι θερμοῖς τὴν μετάνοιαν ἐνδειξαμένους καὶ
and with-tears hot the repentance having-shown and
παννύχοις δεήσεσι. τότε δὴ σχολάσω καὶ αὐτὸς ὑπὲρ
with-all-night prayers then indeed I-will-devote-myself also myself for
ὑμῶν τὸ θεῖον ἐξιλεούμενος." πείθονται ταῖς τοῦ ἀρχιερέως
you the divine propitiating they-obey the of-the high-priest
παραινέσεσι. καὶ μεθ' ἡμέρας τινὰς ἐκ θείας ὀμφῆς
exhortations and after days some by divine voice

κινηθεὶς ὁ ἀρχιερεὺς μεταπεμψάμενος τοὺς μεγιστᾶνας τῶν
moved the high-priest having-summoned the grandees of-the
κομήτων παρηγγυᾶτο δεξιόθεν διορύξαι τοῦ θυσιαστηρίου
counts urged on-the-right to-dig of-the altar
κἀκεῖσε τὸν ἅγιον εὑρηκέναι ἦλον. τὸ ἐπιταχθὲν οὖν
and-there the holy to-find nail the ordered(-thing) then
πεποιηκότες, ἐπεὶ μὴ εὕρισκον, ἐπαναστρέψαντες μετὰ
having-done since not they-found having-returned with
ἀθυμίας τὴν τοῦ ζητουμένου διαμαρτίαν ἀπήγγελλον. ὁ
despondency the of-the sought(-thing) failure reported he
δὲ ἐκτενέστερον τὴν δέησιν ποιησάμενος ἐπιμελέστερον
and more-earnestly the prayer having-made more-carefully
τὴν τοῦ ζητουμένου ἀναψηλάφησιν ποιήσασθαι ἐπέταττεν.
the of-the sought(-thing) search to-make ordered
οἱ δὲ καὶ αὖθις ἐπλήρουν τὸ κελευσθὲν καὶ τὸν
they and also again carried-out the commanded(-thing) and the
ζητούμενον εὑρηκότες δρομαίως τῷ Πέτρῳ προσέφερον
sought(-nail) having-found running — to-Peter brought
χαρᾷ καὶ φρίκῃ συνεχόμενοι. κἄκτοτε ὡς ἁγνοτέρῳ τῶν
with-joy and awe seized and-thenceforth as purer than-the
ἄλλων τῷ Ἰσαγγέλῃ ἐν ταῖς μάχαις τὸν σεπτὸν καὶ θεῖον
others — to-Saint-Gilles in the battles the august and divine
ἐνεχείριζον ἦλον. τῇ γοῦν μετ᾽ αὐτὴν ἐξ ἀνυπόπτου
they-entrusted nail on-the(-day) at-any-rate after it from unsuspected
πύλης κατὰ τῶν Τούρκων ἐξώρμησαν. τότε δὴ ὁ
gate against the Turks they-sallied then indeed the
καλούμενος Φλάντρας ᾐτήσατο τοὺς λοιποὺς μίαν ταύτην
called Flandras asked the rest one this
αἴτησιν παραχωρηθῆναί οἱ, μετὰ τριῶν μόνων κατὰ
request to-be-granted to-him with three only against
τῶν Τούρκων τῶν ἄλλων πρῶτον αὐτὸν ἐξιππάσασθαι.
the Turks of-the others first him to-ride-out

δέδοται δὴ τούτῳ τὸ αἰτηθέν. καὶ ὁπηνίκα αἱ
has-been-given indeed to-him the requested(-thing) and when the
φάλαγγες ἑκατέρωθεν ἰλαδὸν ἔστησαν καὶ ἡ τοῦ πολέμου
phalanxes on-both-sides by-squadrons stood and the of-the war
σύναψις ηὐτρέπιστο, αὐτὸς τοῦ ἵππου ἀποβὰς καὶ
engagement had-been-made-ready he from-the horse having-dismounted and
προσουδίσας ἑαυτὸν τρισσάκις τῷ Θεῷ ἐπηύξατο ἐκεῖθεν
having-prostrated himself thrice — to-God prayed from-there
τὴν βοήθειαν ἐξαιτούμενος. βοησάντων δὲ πάντων τὸ
the help asking having-shouted and all the
"ὁ Θεὸς μεθ' ἡμῶν", ὅλους ῥυτῆρας κατ' αὐτοῦ τοῦ
— God with us whole reins against himself —
Κουρπαγᾶ ἐνέδωκεν ἐπί τινος λόφου ἱσταμένου. εὐθὺς οὖν
Kourpagan gave on some hill standing at-once then
τοὺς κατὰ πρόσωπον αὐτῶν ὑπαντιάσαντας τοῖς δόρασι
the(-men) to face them having-met with-the spears
βαλόντες κατὰ γῆς ἔρριψαν. ἐντεῦθεν οὖν ἐκδειματωθέντες
having-struck to earth they-hurled thence then terrified
οἱ Τοῦρκοι πρὸ τοῦ συρραγῆναι τὸν πόλεμον εἰς φυγὴν
the Turks before the to-break-out the war to flight
ἐτράπησαν θείας πάντως δυνάμεως ἐπαρηγούσης τοῖς
turned divine surely power aiding the
Χριστιανοῖς κἀν τῷ φεύγειν παραπορήσαντες οἱ πλεῖστοι
Christians and-in the fleeing having-lost-their-way the most
τῶν βαρβάρων ταῖς δίναις τῶν ποταμίων συσχεθέντες
of-the barbarians in-the eddies of-the river caught
ῥευμάτων ἀπεπνίγησαν, ὡς ἀντὶ γεφύρας χρηματίσαι
streams were-drowned so-that instead-of bridge to-serve
τὰ σώματα τῶν ἀποπνιγέντων τοῖς ὄπισθεν ἐρχομένοις. ἐφ'
the bodies of-the drowned for-the behind coming for
ἱκανὸν οὖν καὶ τοὺς φεύγοντας διώξαντες πρὸς τὴν
considerable(-distance) then also the fleeing having-pursued to the

Τουρκικὴν ταφρείαν ὑπέστρεψαν κἀκεῖσε τὰς βαρβαρικὰς
Turkish entrenchment returned and-there the barbarian
σκευὰς εὑρηκότες καὶ ἣν συνεπεφέροντο λείαν ἅπασαν
baggage having-found and which they-carried booty all
ἀναλαβέσθαι μὲν ἤθελον παραχρῆμα, πολλὴν δὲ οὖσαν
to-take-up indeed they-wished immediately much and being
διὰ τριακονθημέρου μόγις ταύτην εἰσαγαγεῖν εἰς τὴν
through thirty-days hardly it to-bring-in into the
Ἀντιόχου πόλιν ἐξίσχυσαν. ἐπ᾽ ὀλίγον οὖν αὐτοῦ που
of-Antiochos city were-able for little then there somewhere
ἐγκαρτερήσαντες ἐφ᾽ ᾧ τῆς τοῦ πολέμου κακοπαθείας
having-stayed for which from-the of-the war hardship
ἑαυτοὺς διαναπαῦσαι, ἅμα δὲ καὶ τῆς Ἀντιόχου
themselves to-rest at-the-same-time and also of-the(-city) of-Antiochos
φροντίδα ποιούμενοι ἀνεζήτουν τὸν ταύτην φρουρήσοντα.
care making sought the(-man) it going-to-guard
ἦν δὲ ὁ Βαϊμοῦντος, καθά γε πρὸ τοῦ τὴν πόλιν
was and — Bohemond as at-least before the the city
ἁλῶναι φθάσας ᾐτήσατο. παρακεχωρηκότες δὲ αὐτῷ
to-be-taken having-anticipated asked having-granted and to-him
τῆς ἁπάσης ἐξουσίας τῆς Ἀντιόχου αὐτοὶ τῆς πρὸς
the whole authority of-the(-city) of-Antiochos they the to
τὰ Ἱεροσόλυμα φερούσης ἥψαντο. ἐν δὲ τῷ διέρχεσθαι
— Jerusalem leading(-road) took-to in and the passing-through
πολλὰ μὲν τῶν παραλίων κάστρων κατέσχον· ὁπόσα
many indeed of-the coastal forts they-seized as-many-as
δὲ ἐρυμνότατα ὄντα πλείονος ἐδεῖτο τῆς πολιορκίας,
and strongest being more needed the siege
παραδραμόντες τῷ τέως αὐτὰ πρὸς τὴν Ἱερουσαλὴμ
having-run-past for-the time-being them to — Jerusalem
ἔσπευδον. περιζώσαντες δὲ τὰ τείχη καὶ πυκναῖς
they-hastened having-encircled and the walls and with-frequent

προσβολαῖς πολιορκοῦντες αὐτὴν διὰ μιᾶς σεληνιακῆς
assaults besieging it within one lunar
περιόδου κατέσχον πολλοὺς τῶν ἐντὸς Σαρακηνῶν καὶ
cycle they-took many of-the inside Saracens and
Ἑβραίων ἀνῃρηκότες. πάντων δὲ ὑποταγέντων αὐτοῖς,
Hebrews having-killed all and having-been-subjected to-them
ἐπεὶ ὁ ἀντιβαίνων οὐδείς, τὴν ἐξουσίαν ἅπασαν τῷ
since the resisting(-one) none the authority whole —
Γοντοφρὲ ἀναθέμενοι ῥῆγα τοῦτον ὠνόμασαν.
to-Godfrey having-entrusted king him they-named

VII · RAMLEH AND SAINT-GILLES AT TRIPOLI

Amerimnes of Babylon sends an army against the Latins, who win at Ramleh and are then beaten; Baldwin escapes and later defeats the Babylonians. Alexios sends Bardales with money, and Amerimnes frees the counts without price, all but Godfrey, already sold to his brother Baldwin; Alexios receives them in the City. Saint-Gilles hands Laodikeia to Tzintziloukes, takes Antaradus, routs the atabeg of Damascus by a ruse, the townsfolk reporting that he has fled, and begins a fort on the hill above Tripoli. Tancred besieges Laodikeia, and the garrison surrenders.

Διαμηνυθείσης δὲ τῆς τῶν Κελτῶν ἐφόδου τῷ ἐξουσιαστῇ
having-been-reported and the of-the Celts attack to-the ruler
Βαβυλῶνος Ἀμεριμνῇ καὶ ὅπως παρ᾽ αὐτῶν ἥ τε
of-Babylon Amerimnes and how by them — both
Ἱερουσαλὴμ ἑάλω καὶ αὐτὴ ἡ Ἀντιόχου καὶ ἄλλαι
Jerusalem was-taken and itself the(-city) of-Antiochos and other
πολλαὶ πόλεις αἱ ταύτῃ παρακείμεναι παρὰ τῶν Κελτῶν
many cities the to-it adjacent by the Celts
κατεσχέθησαν, τηνικαῦτα πολὺ πλῆθος συναγοχὼς ἔκ
were-seized then great multitude having-gathered from

τε Ἀρμενίων καὶ Ἀράβων Σαρακηνῶν τε καὶ Ἀγαρηνῶν
both Armenians and Arabs Saracens both and Hagarenes
κατ᾽ αὐτῶν ἐξαπέστειλε. τούτου διαμηνυθέντος παρὰ τοῦ
against them sent-off this having-been-reported by —
Γοντοφρὲ τοῖς Κελτοῖς, τηνικαῦτα ὡπλίσαντο κατ᾽ αὐτῶν
Godfrey to-the Celts then they-armed against them
καὶ κατελθόντες εἰς τὸ Ἰάφα τὴν ἐκείνων περιέμενον
and having-gone-down to — Jaffa the their awaited
ἔφοδον· εἶτα ἐκεῖθεν κατέλαβον τὸ Ῥάμελ, ἐν ᾧ καὶ ὁ
attack then from-there reached — Ramleh in which also the
μεγαλόμαρτυρ Γεώργιος μεμαρτύρηκε, καὶ ἐπελθόντες τῷ
great-martyr George was-martyred and having-attacked the
κατ᾽ αὐτῶν ἐρχομένῳ στρατεύματι τοῦ Ἀμεριμνῆ συνῆψαν
against them coming army — of-Amerimnes joined
πόλεμον μετ᾽ αὐτῶν. καὶ τὴν νικῶσαν εἶχον εὐθὺς οἱ
battle with them and the winning(-hand) had at-once the
Κελτοί· τῇ δὲ μετ᾽ αὐτὴν καταλαβόντος ἐξ ὀπισθίων
Celts on-the(-day) and after it having-arrived from behind
τοῦ προμετωπίου τῆς φάλαγγος ἡττήθησαν οἱ Λατῖνοι
the vanguard of-the phalanx were-defeated the Latins
μέχρι τοῦ Ῥάμελ περισωθέντες. μόνος δὲ ὁ Βαλδουῖνος
as-far-as — Ramleh having-escaped alone and — Baldwin
κόμης ἀπῆν φυγαδείᾳ χρησάμενος οὐχ ὡς ἄνανδρος, ἀλλ᾽
count was-away flight having-used not as cowardly but
ὥς τι κρεῖττον προμηθευσόμενος περί τε τῆς ἑαυτοῦ
as something better going-to-provide about both the his-own
σωτηρίας καὶ τοῦ κατὰ τῶν Βαβυλωνίων στρατεύματος.
safety and the against the Babylonians army
καταλαβόντες δὲ οἱ Βαβυλώνιοι καὶ κυκλοτερῆ τὴν
having-arrived and the Babylonians and encircling the
πολιορκίαν τοῦ Ῥάμελ ποιούμενοι θᾶττον τοῦτο κατέσχον.
siege — of-Ramleh making more-quickly it they-took

πολλοὶ δὲ τῶν Λατίνων τηνικαῦτα κτείνονται, πλείους
many and of-the Latins then are-killed more
δὲ καὶ ζωγρίᾳ πρὸς Βαβυλῶνα ἐστάλησαν. ἐκεῖθεν
and also alive to Babylon were-sent from-there
δὲ ὑποστρέφον τὸ ὁπλιτικὸν ἅπαν τῶν Βαβυλωνίων
and returning the heavy-armed-force all of-the Babylonians
πρὸς τὴν πολιορκίαν τοῦ Ἰάφα ἠπείγετο. τοιοῦτον
to the siege — of-Jaffa hastened such
γὰρ τὸ βάρβαρον ἀεί. ὁ δέ γε ἀνωτέρω ῥηθεὶς
for the barbarian always the and at-least above mentioned
Βαλδουῖνος τὰς παρὰ τῶν Φράγγων ἑαλωκυίας κωμοπόλεις
Baldwin the by the Franks captured towns
ἁπάσας περιὼν οὐκ ὀλίγους τε συναγηοχὼς ἱππεῖς καὶ
all going-around not few and having-gathered horsemen and
πεζοὺς ἀξιόμαχον στράτευμα συνεστήσατο κἀντεῦθεν τοῖς
foot a-match-for-battle army formed and-thence the
Βαβυλωνίοις ἐπελθὼν ἥττησε κατὰ κράτος. ὁ δὲ βασιλεὺς
Babylonians having-attacked defeated by force the and emperor
τὴν κατὰ τὸ Ῥάμελ τῶν Λατίνων ἧτταν μεμαθηκώς,
the at — Ramleh of-the Latins defeat having-learned
περιαλγήσας ἐπὶ τῇ τῶν κομήτων αἰχμαλωσίᾳ, ἅτε
having-grieved-greatly at the of-the counts captivity inasmuch-as
γινώσκων αὐτοὺς κατά τε ὥραν καὶ ῥώμην σώματος καὶ
knowing them in both bloom and strength of-body and
περιφάνειαν γένους τῶν πάλαι ὑμνουμένων, οὐκ ἔφερεν
distinction of-family the(-men) long-ago celebrated not bore
ἐπὶ πλέον τούτους δορυαλώτους ἐπὶ ξένης εἶναι. ἔνθεν
for longer them captives in foreign(-land) to-be whence
τοι μεταπεμψάμενός τινα Βαρδαλῆν καλούμενον χρήματά
surely having-summoned a-certain Bardales called money
τε ἱκανὰ ἐπιδοὺς πρὸς τὴν ἐκείνων ἀνάρρυσιν πρὸς
both considerable having-given for the their ransom to

Βαβυλῶνα ἐκπέπομφεν ἐγχειρίσας αὐτῷ καὶ τὰ πρὸς τὸν
Babylon sent having-entrusted to-him and the to —
Ἀμεριμνῆν γράμματα περὶ τῶν κομήτων διαλαμβάνοντα.
Amerimnes letters about the counts treating
ὁ δὲ τὰς τοῦ αὐτοκράτορος ἀνελίξας γραφὰς ἄτερ
he and the of-the autocrat having-unrolled letters without
τιμῆς τοὺς κόμητας ἀπεδίδου μετὰ περιχαρείας πλὴν τοῦ
price the counts gave-back with great-joy except —
Γοντοφρέ. ἐκεῖνον γὰρ προφθάσας πρὸς τὸν αὐτάδελφον
Godfrey him for having-anticipated to the own-brother
αὐτοῦ Βαλδουῖνον τιμῆς ἀπέδοτο. καταλαβόντας δὲ
his Baldwin for-a-price he-had-sold having-reached and
τὴν μεγαλόπολιν τοὺς κόμητας ὁ βασιλεὺς ἐντίμως
the great-city the counts the emperor honorably
ἐδέξατο χρήματά τε ἱκανὰ ἐπιδοὺς καὶ ἐφ' ἱκανὸν
received money both considerable having-given and for considerable(-time)
τούτους διαναπαύσας χαίροντας ἐξαπέστειλεν οἴκαδε. ὁ
them having-rested rejoicing sent-off homeward —
δὲ Γοντοφρὲ ῥὴξ Ἱεροσολύμων αὖθις ἀποκαταστὰς τὸν
and Godfrey king of-Jerusalem again having-been-restored the
ἀδελφὸν αὐτοῦ Βαλδουῖνον εἰς Ἔδεσαν ἐκπέπομφε. τότε
brother his Baldwin to Edessa sent then
δὴ καὶ ὁ αὐτοκράτωρ τῷ Ἰσαγγέλῃ ἐπέσκηψε τὴν
indeed also the autocrat — to-Saint-Gilles enjoined —
μὲν Λαοδίκειαν Ἀνδρονίκῳ τῷ Τζιντζιλούκῃ ἀναθέσθαι,
indeed Laodikeia to-Andronikos the Tzintziloukes to-entrust
τὸ δέ γε Μαρακέως καὶ τὸ Βαλανέως τοῖς
the(-fort) and at-least of-Marakeus and the(-fort) of-Balaneus to-the(-men)
ὑπὸ τὸν Εὐμάθιον δοῦκα Κύπρου τῷ τότε ὑπάρχοντα,
under — Eumathios duke of-Cyprus at-the then being
ἐκεῖνον δὲ προσωτέρω βαδίσαι καὶ περὶ τῆς τῶν
him and farther to-go and about the of-the

λοιπῶν κάστρων κατασχέσεως ὡς ἐνὸν διαγωνιεῖσθαι.
remaining forts seizure as being-possible to-contend
ὅπερ δὴ καὶ πεποίηκε τοῖς γράμμασιν τοῦ βασιλέως
which indeed also he-did by-the letters of-the emperor
πεισθείς. μετὰ γοῦν τὸ παραδοῦναι τὰ κάστρα τοῖς
persuaded after at-any-rate the to-hand-over the forts to-the
ἀνωτέρω δηλωθεῖσιν ἀπῆλθεν εἰς Ἀντάραδον καὶ ταύτην
above mentioned(-men) he-went-off to Antaradus and it
ἀμαχητὶ ἐχειρώσατο. τοῦτο ἐνωτισθεὶς ὁ Ἀταπάκας
without-battle subdued this having-heard the Atapakas
τῆς Δαμασκοῦ δυνάμεις συναθροίσας ἱκανὰς κατ᾽ αὐτοῦ
— of-Damascus forces having-assembled considerable against him
ἐστρατεύσατο. ἐπεὶ δὲ ὁ Ἰσαγγέλης ἀποχρώσας δυνάμεις
campaigned since and — Saint-Gilles sufficient forces
πρὸς τοσοῦτον πλῆθος οὐκ εἶχε, βουλὴν ἐβουλεύσατο οὐ
against so-great multitude not had a-counsel he-counseled not
τοσοῦτον ἀνδρείαν ὁπόσον συνετήν. θαρρήσας γὰρ τοῖς
so-much brave as wise having-trusted for the
ἐντοπίοις ἔφη ὡς "ἐγὼ μὲν τοῦ κάστρου παμμεγέθους
natives he-said that I indeed the fortress very-great
ὄντος ἔν τινι τόπῳ κρυβήσομαι· ὑμεῖς δέ, ὁπηνίκα ὁ
being in some place will-hide you and when the
Ἀταπάκας καταλάβῃ, τὸ μὲν ἀληθὲς μὴ ὁμολογήσητε,
Atapakas arrives the indeed truth not confess
πτοηθέντα δέ με φυγάδα γενέσθαι διαβεβαιώσατε".
having-been-frightened and me a-fugitive to-have-become affirm
καταλαβὼν οὖν ὁ Ἀταπάκας καὶ ἐρωτήσας περὶ τοῦ
having-arrived then the Atapakas and having-asked about —
Ἰσαγγέλη, ἐπεὶ ἀποδεδρακέναι τοῦτον ἐπίστευσε, κεκμηκὼς
Saint-Gilles since to-have-run-away him he-believed wearied
ἀπὸ τῆς ὁδοιπορίας ἀγχοῦ τῶν τειχῶν τὴν σκηνὴν
from the journey near the walls the tent

ἐπήξατο. τῶν δὲ ἐντοπίων πᾶσαν φιλοφροσύνην εἰς
pitched the and natives all kindness toward
αὐτὸν ἐνδεικνυμένων, τεθαρρηκότες οἱ Τοῦρκοι καὶ μηδὲν
him showing having-taken-courage the Turks and nothing
ἐναντίον ὑποτοπάσαντες τοὺς ἰδίους ἵππους πρὸς τὸ πεδίον
contrary having-suspected the own horses to the plain
ἔλυσαν. ὁ δὲ Ἰσαγγέλης μέσης ἡμέρας τοῦ ἡλίου κατὰ
loosed — and Saint-Gilles at-mid day the sun at
κορυφὴν τὰς ἀκτῖνας βάλλοντος καρτερῶς ὁπλισάμενος
zenith the rays casting strongly having-armed
μετὰ τῶν ὑπ᾽ αὐτόν (εἰς τετρακοσίους δὲ περιίσταντο)
with the under him to four-hundred and they-amounted
αἴφνης τὰς πύλας ἀνοίξας διὰ μέσης τῆς αὐτῶν
suddenly the gates having-opened through middle of-the their
παρεμβολῆς ὥρμησεν. ὁπόσοι μὲν οὖν ἐκθύμως εἰώθασι
camp rushed as-many-as indeed then passionately are-wont
μάχεσθαι, τῆς ἑαυτῶν ζωῆς ἀφειδήσαντες τὸν μετ᾽ αὐτῶν
to-fight the their-own life having-been-unsparing-of the with them
ἱστάμενοι ἀνεδέξαντο πόλεμον· οἱ δὲ λοιποὶ φυγαδείᾳ τὴν
standing took-up battle the and rest by-flight the
ἑαυτῶν ἀπεπειρῶντο πραγματεύσασθαι σωτηρίαν. ἀλλὰ τὸ
their-own tried to-procure safety but the
τῆς πεδιάδος εὐρὺ καὶ τὸ μή τι ἕλος παρακεῖσθαι ἢ
of-the plain breadth and the not any marsh to-lie-near or
βουνὸν ἢ φάραγγα ταῖς τῶν Λατίνων χερσὶν ἅπαντας
hill or ravine to-the of-the Latins hands all
παραδέδωκεν. ἔνθεν τοι καὶ παρανάλωμα ξιφῶν πάντες
handed-over whence surely also a-casualty of-swords all
γεγόνασιν· ὀλίγοι δὲ καὶ κατεσχέθησαν. οὕτω γοῦν
became few and also were-captured thus at-any-rate
τῶν Τούρκων καταστρατηγήσας κατὰ τῆς Τριπόλεως
the Turks having-outgeneraled against — Tripoli

χωρεῖ. ἄνεισι γοῦν κατευθὺ καὶ προκαταλαμβάνει τὴν
advances goes-up at-any-rate straight and seizes-first the
ἀκρολοφίαν τοῦ ἀντικρὺ Τριπόλεως διακειμένου βουνοῦ,
hilltop of-the opposite Tripoli lying hill
μέρους ὄντος τοῦ Λιβάνου, ἐφ' ᾧ καὶ ὡς ὀχύρωμα
part being of-the Lebanon for which both as stronghold
τοῦτον ἔχειν καὶ τὸ ἐκ τοῦ Λιβάνου καταρρέον ὕδωρ εἰς
it to-have and the from the Lebanon flowing-down water to
Τρίπολιν διὰ τοῦ πρανοῦς τοῦ τοιούτου βουνοῦ ἐπισχεῖν.
Tripoli through the slope of-the such hill to-check
τηνικαῦτα δὲ πρὸς τὸν βασιλέα τὰ συμβάντα
then and to the emperor the(-things) having-happened
δηλώσας ᾐτεῖτο ἐρυμνότατόν τι ὀχύρωμα γενέσθαι
having-made-known asked very-strong some stronghold to-be-made
πρὸ τοῦ καταλαβεῖν ἀπὸ τοῦ Χοροσὰν δυνάμεις πλείονας
before the to-arrive from — Khorasan forces more
καὶ καταγωνίσασθαι αὐτούς. ὁ δὲ βασιλεὺς τῷ δουκὶ
and to-overcome them the and emperor to-the duke
Κύπρου τὴν τοῦ τοιούτου πολιχνίου κτίσιν ἀνέθετο
of-Cyprus the of-the such little-town building entrusted
αὐτὸν Κελτῶν ἕτερον εἰς φυλακὴν τῆς πόλεως ἐπέστησεν
him Celts another for guard of-the city set-over
ἐκείνους ἐκεῖθεν ἀπελάσας. ἅμα δὲ καὶ τοὺς
those from-there having-driven-off at-the-same-time and also the
ἀγχοῦ τῶν τειχῶν ὄντας ἀμπελῶνας ἠρίπωσεν, ὥστε μὴ
near the walls being vineyards destroyed so-that not
ἐμποδὼν τοῖς ἱππάζεσθαι μέλλουσι καθεστάναι Λατίνοις.
in-the-way to-the to-ride about-to to-stand Latins
ταῦτα μὲν οὕτω καταστήσας ἐκεῖθεν ἐξελθὼν τὴν
these(-things) indeed thus having-settled from-there having-gone-out the(-city)
Ἀντιόχου κατέλαβεν· ὁ δέ γε Καντακουζηνὸς οὐκ
of-Antiochos reached — and at-least Kantakouzenos not
ἠμέλει παντοίως πολιορκῶν τε καὶ διὰ μυρίων μηχανῶν
neglected in-every-way besieging both and through countless devices

τε καὶ ἐπιχειρημάτων καὶ ἑλεπόλεων συνταράσσων τοὺς
both and attempts and siege-engines troubling the
ἐντὸς τῆς ἀκροπόλεως Λατίνους. ἀλλὰ καὶ ὁ Μοναστρᾶς
inside the citadel Latins but also — Monastras
διὰ τῆς ἠπείρου ἐρχόμενος μετὰ τοῦ ἱππικοῦ φοσσάτου
through the mainland coming with the cavalry fossaton
παραλαμβάνει τήν τε Λογγινιάδα, τὴν Ταρσόν, τὴν Ἄδαναν
takes-over — both Longinias — Tarsus — Adana
καὶ τὴν Μάμισταν καὶ αὐτὴν δὴ τὴν Κιλικίαν ἅπασαν.
and — Mamista and itself indeed — Cilicia whole

XII · BOHEMOND'S COFFIN

Threatened by land and sea, Bohemond leaves Antioch to Tancred, spreads the rumor of his own death, and sails for Rome laid in a coffin, with a strangled cock beside him for the stench of a corpse, breathing through holes while his men wail. At Corfu he rises from the coffin and sends word through the duke Alexios that he lives, has left Tancred to face the emperor's generals, and will come back with Lombards, Latins, and Germans to fill the empire with blood until he plants his spear in Byzantium.

Πρὸς δὲ τὰς τοῦ αὐτοκράτορος ἀπειλὰς ὁ Βαϊμοῦντος
at and the of-the autocrat threats — Bohemond
ὀρρωδήσας καὶ μὴ ἔχων ὅ τι καὶ χρήσαιτο πρὸς ἄμυναν
having-dreaded and not having what — also he-might-use for defense
(οὔτε γὰρ κατ' ἤπειρον εἶχε στράτευμα οὔτε κατὰ θάλατταν
neither for by land had army nor by sea
στόλον· ἑκατέρωθεν γὰρ αὐτῷ ὁ κίνδυνος ἐπεκρέματο)
fleet on-both-sides for over-him the danger hung
μηχανᾶταί τι τοιοῦτον σφόδρα μὲν ἀγεννές, σφόδρα
devises something such very indeed ignoble very

δὲ πανουργότατον. πρῶτον γὰρ τὴν Ἀντιόχου πόλιν
and most-crafty first for the of-Antiochos city
καταλείψας τῷ τοῦ Μαρκέση Ταγγρὲ καὶ τούτου
having-left to-the(-son) — of-Markeses to-Tancred and his
ἀδελφιδῷ αὐτὸς ἁπανταχόθεν φήμας πέμπει περὶ ἑαυτοῦ,
nephew he from-everywhere rumors sends about himself
ὡς ἄρα ὁ Βαϊμοῦντος ἀποτεθνήκει, καὶ ζῶν ἔτι ὡς περὶ
that after-all — Bohemond had-died and living still as about
κατοιχομένου αὐτοῦ τὴν οἰκουμένην διέθετο. καὶ ἡ φήμη
departed him the world disposed and the rumor
διέτρεχεν ἁπανταχῇ πτερῶν ταχύτερα καὶ τὸν Βαϊμοῦντον
ran everywhere than-wings swifter and — Bohemond
νεκρὸν ἐκήρυττε. καὶ δῆτα ὡς ἑώρα τὰ τῆς φήμης
dead proclaimed and indeed when he-saw the(-things) of-the rumor
ἀποχρώντως ἔχειν, λάρναξ τὸ ἐντεῦθεν *** ξυλίνη καὶ
sufficiently to-be a-coffin the thence (lacuna) wooden and
ναῦς διήρης, ἐν ᾗ κατατιθεμένη ἡ λάρναξ καὶ ὁ ἔμπνους
ship bireme in which being-laid the coffin and the breathing
οὗτος νεκρὸς ἀπὸ τοῦ Σουδεΐ, ὅπερ ἐστὶ τῆς Ἀντιοχείας
this corpse from — Soudi which is — of-Antioch
ἐπίνειον, ἐπὶ τὴν Ῥώμην ἀπέπλει. καὶ διαπόντιος ὡς νεκρὸς
port to — Rome sailed-off and overseas as dead
ἐκομίζετο τὰ μὲν ἔξωθεν νεκρὸς καὶ τῇ σορῷ καὶ
was-carried the(-things) indeed outside dead both by-the coffin and
τοῖς τῶν ἀμφ' αὐτὸν σχήμασιν (καὶ γὰρ ἑκασταχοῦ
by-the of-the(-men) about him gestures and for everywhere
γινόμενοι ἀπέτιλλόν τε τὰς τρίχας οἱ βάρβαροι καὶ σαφῶς
being they-tore both the hair the barbarians and loudly
ἀνωλόλυζον), τὰ δ' ἔνδον ἐκεῖνος ἐκτάδην κείμενος
wailed the(-things) and inside he stretched-out lying
μέχρι τούτων νεκρὸς ἦν, τὰ δ' ἄλλα εἰσέπνει τε τὸν
as-far-as these dead was the and other(-respects) breathed-in both the

ἀέρα καὶ ἀπέπνει διά τινων κρυφίων ὀπῶν. ταῦτα μὲν
air and breathed-out through some hidden holes these(-things) indeed
ἐν τοῖς παραλίοις· ἐπειδὰν δὲ κατὰ πελάγους τὸ σκάφος
on the coasts when and on open-sea the vessel
γένοιτο, τροφῆς τε αὐτῷ μετεδίδοσαν καὶ ἐπεμελοῦντο·
should-be of-food both to-him they-gave and tended
καὶ μετὰ τοῦτο πάλιν οἱ αὐτοὶ θρῆνοι καὶ τὰ αὐτὰ
and after this again the same laments and the same
μαγγανεύματα. ἵνα δὲ καὶ δοκοίη ὁ νεκρὸς ἔωλος εἶναι
trickeries that and also might-seem the corpse stale to-be
καὶ ὀδωδώς, ἀλεκτρυόνα ἀποπνίξαντες ἢ ἀποσφάξαντες
and stinking a-cock having-strangled or having-slaughtered
ἐνέθηκαν τῷ νεκρῷ. καὶ εὐθὺς ἐκεῖνος εἰς τετάρτην ἢ
put-in-with the corpse and at-once he by fourth or
καὶ πέμπτην ἡμέραν βαρυοδμότατος ἦν τοῖς ὄσφρησιν
even fifth day most-foul-smelling was to-the(-men) smell
ἔχουσιν. καὶ ἐδόκει μὲν τοῦ χρωτὸς εἶναι τοῦ Βαϊμούντου
having and seemed indeed of-the body to-be — of-Bohemond
τὸ βαρὺ τῆς ἀναπνοῆς τοῖς ἔξωθεν ἠπατημένοις· πλέον δ'
the heaviness of-the breath to-the outside deceived more and
ἐκεῖνος ὁ Βαϊμοῦντος τοῦ ἐπιπλάστου κακοῦ συναπέλαυεν,
that — Bohemond of-the feigned ill enjoyed
ὥστε ἔγωγε θαυμάζω, πῶς τοσαύτην ὑπήνεγκε τῆς ῥινὸς
so-that I-for-my-part marvel how such endured of-the nose
πολιορκίαν ζῶν ἔτι μετὰ νεκροῦ συμφερόμενος σώματος.
siege living still with dead carried body
ἀλλ' ἐντεῦθεν μεμάθηκα, ὡς ἄρα πᾶν τὸ βάρβαρον
but thence I-have-learned that after-all all the barbarian
γένος δυσανάκλητον, ἐφ' ὅπερ ἂν ἐφορμήσειε, καὶ οὐδὲν
race hard-to-recall to whatever — it-should-rush and nothing
αὐτῷ φορτικώτατον ὃ μὴ ἐνέγκοι καθάπαξ ἐμβαλὸν
to-it most-burdensome which not it-would-bear once having-thrown

ἑαυτὸ πρὸς αὐθαιρέτους κακώσεις. καὶ γὰρ οὗτος μηδέπω
itself into self-chosen hardships and for he not-yet
ἀποθανών, ἀλλὰ σχήματι μόνῳ ἀποθανὼν οὐκ ἀπώκνησε
having-died but in-form only having-died not shrank
ζῆν μετὰ ἀποθανόντων σωμάτων. τέχνη μὲν οὖν τοῦ
to-live with dead bodies device indeed then of-the
βαρβάρου αὕτη πρώτη καὶ μόνη κατὰ τὴν καθ' ἡμᾶς
barbarian this first and only in the in our
οἰκουμένην πέφηνεν εἰς καταστροφὴν ἀποβλέπουσα τῆς
world appeared to overthrow looking of-the
Ῥωμαίων ἡγεμονίας. οὐδὲ πρὸ ταύτης βάρβαρος ἢ Ἕλλην
of-Romans dominion nor before this barbarian or Hellene
τοιαῦτα κατὰ πολεμίων ἐμηχανήσατο οὔτ' ἄν, οἶμαι, μετὰ
such against enemies devised nor — I-think after
ταῦτα ὁ καθ' ἡμᾶς θεάσαιτο βίος. ἐπεὶ δὲ τὴν Κορυφὼ
these(-things) the in our would-see life when and — Corfu
καταλάβοι, ὥσπερ εἰς ἀκρώρειάν τινα γενόμενος καὶ
he-reached as to a-summit some having-come and
κορυφὴν καὶ κρησφύγετον τὴν Κορυφὼ ταυτηνὶ καὶ ἐν τῷ
peak and refuge — Corfu this-here and in the
ἀκινδύνῳ τυγχάνων ἀνήγερτό τε ἀπὸ τῶν ἐν δόξῃ νεκρῶν
safety happening be-rose both from the in seeming dead
καὶ τὴν νεκροφόρον ἐκεῖσε λάρνακα καταλείψας ἡλίου τε
and the corpse-bearing there coffin having-left sun both
ἐνεφορεῖτο πλείονος καὶ τοῦ ἀέρος ἀνέπνει καθαρωτέρου
took-his-fill more and the air breathed purer
καὶ περιενόστει τὴν πόλιν τὴν Κορυφώ· ὃν ἑωρακότες
and went-about the city — Corfu whom having-seen
ἐν ξένῃ καὶ βαρβαρικῇ στολῇ ἀνεπυνθάνοντο τό τε γένος
in foreign and barbarian dress they-inquired the both race
καὶ τὴν τύχην καὶ τίς τε εἴη καὶ πόθεν ἥκει καὶ
and the fortune and who and he-might-be and whence he-comes and

εἰς οὓς παραγίνεται. ὁ δὲ τῶν μὲν ἄλλων ὑπερεώρα
to whom he-is-going he and the indeed others disdained
πάντων, ἀνεζήτει δὲ τὸν δοῦκα τῆς πόλεως. ἦν δὲ ἄρα
all sought and the duke of-the city was and after-all
οὗτος Ἀλέξιός τις θέματος Ἀρμενιακοῦ γενόμενος. ὃν
this-man Alexios a-certain of-the-theme Armeniakon having-been whom
θεασάμενος μετὰ σοβαροῦ τοῦ βλέμματός τε καὶ σχήματος
having-beheld with haughty the look both and bearing
καὶ σοβαρᾷ τῇ φωνῇ χρώμενος καὶ ὅλως βαρβαρικῇ
and haughty the voice using and wholly barbarian
ἀπαγγεῖλαι προσέταττεν Ἀλεξίῳ τῷ αὐτοκράτορι ὅτι "σοὶ
to-report he-ordered to-Alexios the autocrat that to-you
ἐγὼ Βαϊμοῦντος ἐκεῖνος ὁ τοῦ Ῥομπέρτου, ὃν ὁ
I Bohemond that the(-son) — of-Robert whom the
ἀνέκαθεν χρόνος καὶ σὲ καὶ τὴν ὑπὸ σὲ βασιλείαν ἐδίδαξεν,
from-of-old time both you and the under you empire taught
ὁπόσος τίς εἰμι τὴν ἀνδρείαν καὶ τὴν ἔνστασιν. ἐφ' ᾧπερ
how-great who I-am the courage and the persistence in whatever
ἂν καὶ τὴν ῥοπὴν λάβοιμι, ὡς οὐκ ἂν ἀνασχοίμην, ἴστω
— also the turn I-might-take that not — I-would-endure let-know
Θεός, τῶν πρὸς ἐμὲ γεγενημένων κακῶν. ἐξ ὅτου γὰρ
God the to me having-been-done ills from when for
διὰ τῆς Ῥωμαίων τὴν Ἀντιόχου κατέλαβον καὶ
through the(-land) of-Romans the(-city) of-Antiochos I-took and
Συρίαν ὅλην ἠνδραποδισάμην τῷ ἐμῷ δόρατι, πολλῆς
Syria whole I-enslaved with-the my spear much
παρὰ σοῦ καὶ τῆς σῆς στρατιᾶς πικρίας ἐνεφορήθην
from you and the your army bitterness I-was-sated-with
ἐλπίσιν ἐξ ἐλπίδων παραπεμπόμενος καὶ εἰς μυρίας
with-hopes upon hopes being-put-off and into countless
συμφορὰς καὶ πολέμους βαρβαρικοὺς ἐμβαλλόμενος. ἀλλὰ
misfortunes and wars barbarian being-thrown but

νῦν γε ἴσθι με, κἂν ἀπέθανον, πάλιν ἐξ ὑπαρχῆς
now at-least know me even-if I-died again from the-beginning
ἀναβεβιωκότα καὶ τὰς σὰς διαδεδρακότα χεῖρας. πάντα
having-come-back-to-life and the your having-escaped hands every
γὰρ ὀφθαλμὸν καὶ πᾶσαν χεῖρα καὶ γνώμην διαλαθὼν
for eye and every hand and mind having-escaped-notice
ἐν σχήματι ἀποτεθνηκότος νῦν καὶ ζῶν καὶ κινούμενος καὶ
in form of-one-dead now both living and moving and
τὸν ἀέρα πνέων ἐκ τῆσδε τῆς Κορυφοῦς διαπέμπω πάνυ
the air breathing from this — Corfu I-send very
μεμισημένας ἀγγελίας τῇ σῇ βασιλείᾳ, ἃς καὶ ἀναμαθὼν
hated messages to-the your majesty which also having-learned
οὐκ ἂν περιχαρῶς ἀποδέξαιο, ὡς τῷ μὲν Ταγγρὲ καὶ
not — gladly you-would-receive that — indeed to-Tancred and
ἐμῷ ἀνεψιῷ τὴν Ἀντιόχου πόλιν παρακατεθέμην πρὸς τοὺς
my nephew the of-Antiochos city I-entrusted against the
σοὺς στρατηγοὺς ἀντίμαχον ἀξιόμαχον καταλείψας αὐτόν,
your generals opponent a-match-for-battle having-left him
αὐτὸς δὲ πρὸς τὴν ἰδίαν ἄπειμι χώραν σοὶ μὲν νεκρὸς
I and to the own go-away land to-you indeed dead
φημιζόμενος καὶ τοῖς σοῖς, ἐμοὶ δὲ καὶ τοῖς ἐμαυτοῦ καὶ
reported and to-the yours to-me and also to-the my-own both
ζῶν καὶ κατὰ σοῦ δεινὰ βουλευόμενος. ἐφ' ᾧ γὰρ
living and against you terrible(-things) planning for which for
τὴν ὑπὸ σὲ Ῥωμανίαν κλονήσειν, καὶ ζῶν ἀποτέθνηκα
the under you Romania to-shake both living I-have-died
καὶ ἀποθανὼν ἔζησα. εἰ γὰρ τὴν ἀντιπέραν ἤπειρον
and having-died I-lived if for the opposite mainland
καταλάβοιμι καὶ Λογγιβάρδους καὶ πάντας Λατίνους καὶ
I-should-reach and Lombards and all Latins and
Γερμανοὺς καὶ τοὺς καθ' ἡμᾶς Φράγγους ὀψαίμην, ἄνδρας
Germans and the in our Franks I-should-see men

Ἄρεως μνήμονας, πολλῶν φόνων καὶ πολλῶν αἱμάτων
of-Ares mindful of-many slaughters and of-much blood
τὰς σὰς ἐμπλήσω καὶ πόλεις καὶ χώρας, ἕως ἂν ἐπ᾽
the your I-will-fill both cities and lands until — on
αὐτοῦ τοῦ Βυζαντίου τὸ δόρυ πηξαίμην.” εἰς τοσοῦτον
very — Byzantium the spear I-should-fix to such-a-pitch
ἄρα ὁ βάρβαρος ἀλαζονείας ἐπῆρτο.
after-all the barbarian of-boasting had-been-lifted-up

BOOK XII

XIII · THE COUNTS RANSOMED

In Lombardy Bohemond gathers a new army, marries a daughter of the king of France, and calls Alexios a pagan in every city. Alexios writes to Pisa, Genoa, and Venice not to follow him. The Babylonian holds three hundred counts in a terrible prison; Alexios sends Panoukomites with money, and the Babylonian frees them without taking any. Alexios receives the counts kindly and sends them home, where they refute Bohemond's slanders, while Alexios goes to Thessalonike to train recruits.

Τὰ μὲν οὖν τῆς πρώτης τοῦ Βαϊμούντου διαπεραιώσεως
the indeed then of-the first — of-Bohemond crossing
ἔργα καὶ ὁπόσα πραγματευσάμενος κατὰ τοῦ αὐτοκράτορος
deeds and how-many having-contrived against the autocrat
φαίνεται τὰ σκῆπτρα τῶν Ῥωμαίων ἑαυτῷ μνηστευόμενος
he-appears the scepters of-the Romans for-himself wooing
καὶ ὅπως τὴν ἐκεῖθεν ὑποχώρησιν μετὰ ῥᾳδιουργίας
and how the from-there withdrawal with knavery
προμηθευσάμενος καὶ δὴ καὶ τυχὼν τοῦ σκοποῦ
having-planned and indeed also having-attained the aim
καὶ τοιαύτην τὴν ναυλοχίαν καθαπερεὶ νεκρὸς φερόμενος
and such the voyage as-if dead being-carried

ποιησάμενος τὴν Κορυφὼ κατέλαβεν, ὧδέ πη
having-made — Corfu he-reached thus somehow
περιγεγράφθω. ἐχέσθω δ' αὖθις ὁ λόγος τῶν μετ'
let-it-have-been-described let-hold and again the account of-the after
ἐκεῖνα τούτου πράξεων· καταλαβὼν δὲ ὁ νεκρὸς ὀδωδὼς
those his deeds having-reached and the dead stinking
τὴν Κορυφώ, καθά γε καὶ εἴρηται, καὶ ἀπειλησάμενος
— Corfu as at-least also has-been-said and having-threatened
διὰ τοῦ ἐκεῖσε δουκὸς τῷ αὐτοκράτορι, ὁπόσα ὁ
through the there duke to-the autocrat how-many(-things) the
λόγος φθάσας ἐδήλωσε, πρὸς τὴν Λογγιβαρδίαν τὸν
account having-anticipated showed to — Lombardy the
ἀπόπλουν ποιησάμενος ἔργου ἥπτετο σκεπτόμενος αὖθις τὸ
sailing having-made work set-to considering again —
Ἰλλυρικὸν καταλαβεῖν καὶ συμμάχους διὰ τοῦτο σπεύδων
Illyricum to-seize and allies because-of this hastening
συναγηοχέναι πλείους τῶν πρὸ τοῦ. καὶ περὶ κήδους
to-have-gathered more than-the before the(-time) and about marriage-alliance
τῷ ῥηγὶ Φραγγίας ὁμιλήσας τὴν μὲν τῶν θυγατέρων
with-the king of-France having-conversed the(-one) indeed of-the daughters
αὐτοῦ εἰς ἰδίαν αὐτῷ γυναῖκα ἐξέδοτο, τὴν δέ γε
his for own to-him wife he-gave the and at-least
ἑτέραν διαπόντιον πρὸς τὴν Ἀντιόχου πόλιν ἐξέπεμψεν ἐφ'
other overseas to the of-Antiochos city sent-out for
ᾧ συναφθῆναι τῷ ἀνεψιῷ αὐτοῦ Ταγγρέ. εἶτα δυνάμεις
which to-be-joined to-the nephew his Tancred then forces
ἁπανταχόθεν μυριοπληθεῖς συλλεξάμενος ἐκ πάσης τε
from-everywhere countless having-collected from every both
χώρας καὶ πόλεως τοὺς κόμητας μεταπεμψάμενος μετὰ
land and city the counts having-summoned with
τῶν ὑπ' αὐτοὺς στρατευμάτων τὴν πρὸς τὸ Ἰλλυρικὸν
the under them armies the to — Illyricum

διαπεραίωσιν ἐπετάχυνεν. ὁ γοῦν βασιλεὺς τὰ διὰ
crossing hastened the at-any-rate emperor the(-things) through
τοῦ Ἀλεξίου πρὸς αὐτὸν διαμηνυθέντα ἀκηκοὼς εὐθὺς
— Alexios to him reported having-heard at-once
κατὰ πάσας τὰς χώρας, Πίσσαν τε καὶ Γένουαν καὶ
to all the lands Pisa both and Genoa and
Βενετίαν γράμματα ἐπέστελλε προπαρασκευάζων αὐτοὺς
Venice letters sent preparing-beforehand them
μὴ συναπαχθέντας τοῖς ἀπατηλοῖς τοῦ Βαϊμούντου λόγοις
not having-been-carried-away by-the deceitful — of-Bohemond words
ἐκείνῳ συνεφέψεσθαι. καὶ γὰρ περιὼν ἁπάσας τὰς χώρας
him to-follow and for going-around all the lands
καὶ πόλεις πολλὴν τὴν κατὰ τοῦ αὐτοκράτορος καταδρομὴν
and cities much the against the autocrat invective
ἐποιεῖτο παγάνον ὀνομάζων αὐτὸν καὶ τῶν Χριστιανῶν
made pagan calling him and of-the Christians
πολέμιον. ἐπεὶ δὲ καὶ ὁ Βαβυλώνιος τριακοσίους
enemy since and also the Babylonian three-hundred
φθάσας κατέσχε τότε κόμητας, ὁπότε τὰ ἄπειρα
having-anticipated held then counts when the countless
πλήθη τῶν Κελτῶν διὰ τῆς ἑσπέρας διαπεραιωσάμενα
multitudes of-the Celts through the west having-crossed
τὴν Ἀσίαν τήν τε Ἀντιόχου πόλιν καὶ τὴν Τύρον καὶ
— Asia the both of-Antiochos city and — Tyre and
τὰς παρακειμένας ἁπάσας πόλεις καὶ χώρας ἐμάστιζον,
the adjacent all cities and lands scourged
καὶ δεσμώτας ἐμφρούρους εἶχεν, ἡ δὲ φρουρὰ δεινὴ τῶν
and as-prisoners under-guard held the and prison terrible than-the
πάλαι γεγενημένων, καὶ τὰ περὶ τῆς τούτων ἁλώσεως
long-ago having-been and the(-things) about the their capture
καὶ τὰ ἐντεῦθεν συμπεσόντα τούτοις δεινὰ μεμαθηκὼς
and the thence having-befallen them terrible(-things) having-learned

ὁ αὐτοκράτωρ ἐδάκνετο τὴν ψυχὴν καὶ ὅλος τῆς ἐκείνων
the autocrat was-stung in-the soul and wholly of-the their
ἀναρρύσεως ἐγεγόνει. καὶ μεταπεμψάμενος Νικήταν τὸν
ransom had-become and having-summoned Niketas the
Πανουκωμίτην μετὰ χρημάτων πρὸς τὸν Βαβυλώνιον
Panoukomites with money to the Babylonian
ἐξαπέστειλε γραφὰς πρὸς αὐτὸν ἐγχειρίσας, δι᾽ ὧν τοὺς
sent letters to him having-entrusted through which the
δορυαλώτους ἐκείνους ᾐτεῖτο κόμητας πολλὰς ὑποσχόμενος
captive those he-asked-for counts many having-promised
αὐτῷ τὰς χάριτας, εἰ τούτους λύσας τῶν δεσμῶν
him the favors if them having-loosed from-the bonds
ἀπολύσει. ὁ δὲ Βαβυλώνιος τὸν Πανουκωμίτην θεασάμενος
he-will-release the and Babylonian the Panoukomites having-beheld
καὶ ἀκούσας, ἅττα δὴ παρὰ τοῦ αὐτοκράτορος πρὸς
and having-heard what indeed from the autocrat to
αὐτὸν διεμηνύθη, ἀνελίξας δὲ καὶ τὰς γραφὰς λύει
him had-been-reported having-unrolled and also the letters looses
μὲν παραχρῆμα τοὺς κόμητας τῶν δεσμῶν, ἐξάγει δὲ
indeed immediately the counts from-the bonds leads-out and
καὶ τῆς φρουρᾶς· οὐ μέντοι γε παντελοῦς ἐλευθερίας
also from-the prison not however at-least of-complete freedom
αὐτοὺς ἀξιοῖ, ἀλλὰ τῷ Πανουκωμίτῃ παραδίδωσι πρὸς
them deems-worthy but — to-Panoukomites hands-over to
τὸν αὐτοκράτορα τούτους ἐξαποστείλας μηδ᾽ ὁτιοῦν τῶν
the autocrat them having-sent-off not-even anything of-the
ἀποσταλέντων χρημάτων ἀναλαβόμενος· εἴτε δὲ ὡς μὴ
sent money having-taken whether and as not
ἀποχρῶντα πρὸς τοσούτων λύτρον, εἴτε καὶ δωροληψίας
sufficient for so-many ransom or also of-bribe-taking
ἐκφεύγων ὑπόνοιαν καὶ ὡς μὴ φαίνοιτο τιμῆς τούτους
fleeing suspicion and that not he-might-appear for-a-price them

ἀποδόμενος, ἀλλὰ καθαρὰν τὴν χάριν ἀπονέμων τῷ
having-sold but pure the favor bestowing on-the
βασιλεῖ καὶ ἀκίβδηλον, εἴτε καὶ πλειόνων ἐφιέμενος, Θεὸς
emperor and unalloyed or also more desiring God
ἂν εἰδείη. τούτους ὁ βασιλεὺς καταλαβόντας θεασάμενος
— may-know them the emperor having-arrived having-beheld
ὑπερηγάσθη μὲν τὴν τοῦ βαρβάρου γνώμην καὶ τεθαύμακεν,
admired indeed the of-the barbarian mind and marveled
ἐπιπόνως δὲ τούτους περὶ τῶν συμβεβηκότων αὐτοῖς
painstakingly and them about the having-befallen them
ἐπερωτήσας καὶ μεμαθηκώς, ὅπως ἐπὶ τοσοῦτον χρόνον
having-questioned and having-learned how for so-long time
καὶ τοσούτων κύκλων περιόδους ἔμφρουροι ὄντες οὐδὲ
and so-many of-cycles revolutions in-prison being not-even
ἅπαξ ἥλιον ἐθεάσαντο οὐδὲ τῶν δεσμῶν ἐλύθησαν, ἀλλὰ
once sun saw nor from-the bonds were-loosed but
καὶ τροφῶν παντοίων ἄγευστοι τὸ παράπαν ἐπὶ τοσοῦτον
also foods of-all-kinds untasting the at-all for so-long
διαμεμενήκεσαν μόνου ἄρτου καὶ ὕδατος μεταλαμβάνοντες,
had-remained only of-bread and of-water partaking
οἰκτείρας τοῦ πάθους καὶ θερμὸν καταστάξας δάκρυον
having-pitied the suffering and hot having-let-fall tear
πολλῆς παραχρῆμα ἠξίου φιλοφροσύνης χρήματά τε
of-much immediately deemed-worthy kindness money both
ἐπιδοὺς καὶ ἄμφια παντοῖα παρασχὼν ἐς βαλανεῖά τε
having-given and garments of-all-kinds having-provided to baths both
προτρεπόμενος καὶ παντοίως τῆς τοσαύτης κακότητος
urging and in-every-way from-the so-great misery
ἀνακτήσασθαι τούτους μηχανώμενος. οἱ δὲ ἔχαιρον ἐφ'
to-restore them contriving they and rejoiced at
οἷς παρὰ τοῦ αὐτοκράτορος εὖ πεπόνθασιν, οἱ πρὶν
what by the autocrat well they-had-been-treated the formerly

ἐχθροὶ καὶ πολέμιοι, οἱ παραβάται τῶν πρὸς αὐτὸν ὁρκίων
enemies and foes the transgressors of-the to him oaths
καὶ ὑποσχέσεων, τὴν τοσαύτην ἐς αὐτοὺς κατανοοῦντες
and promises the so-great toward them perceiving
ἀνεξικακίαν. ὁ δὲ μεθ᾽ ἡμέρας μεταπεμψάμενος τούτους
forbearance he and after days having-summoned them
ἔφη "ἄδειαν ὑμῖν τοῦ λοιποῦ δίδωμι, ἵνα ὁπόσον βούλεσθε
he-said leave to-you for-the rest I-give that as-long-as you-wish
κατὰ ταύτην τὴν πόλιν ἐγκαρτερήσητε μεθ᾽ ἡμῶν. ὁπηνίκα
in this the city you-may-remain with us when
δέ τις τῶν οἰκείων ἐπιμνησθεὶς ἐθελήσοι ἀναχωρεῖν,
and anyone of-the own(-people) having-remembered should-wish to-depart
ἀκωλύτως καὶ τῆς πρὸς τὰ οἴκοι φερούσης ἄψαιτο
unhindered and the to the(-places) at-home leading(-road) should-take
συνταξάμενος ἡμῖν καὶ οὕτως διὰ χρημάτων καὶ παντοίας
having-taken-leave of-us and thus with money and every
ἄλλης οἰκονομίας ἐφοδιασθεὶς καλῶς διευθετηθείη. καὶ
other provision supplied well might-be-arranged and
ἁπλῶς καὶ παρεῖναι καὶ ἀπεῖναι ἄδειαν ἔχειν ὑμᾶς βούλομαι
simply both to-be-present and to-be-away leave to-have you I-wish
καὶ τὸ βουλητὸν ὡς ἐλευθέρους κατὰ τὴν οἰκείαν
and the wished(-thing) as free-men according-to the own
γνώμην πράττειν." ἦσαν μὲν οὖν τέως οἱ κόμητες
mind to-do were indeed then for-the-time the counts
μετὰ τοῦ αὐτοκράτορος παντοίας, ὡς εἴρηται, θεραπείας
with the autocrat every as has-been-said attention
ἀξιούμενοι καὶ δυσαποσπάστως αὐτοῦ ἔχοντες. ἐπεὶ δὲ
deemed-worthy-of and hard-to-tear-away from-him being since and
τὴν Λογγιβαρδίαν ὁ Βαϊμοῦντος καταλαβών, ὡς ὁ λόγος
— Lombardy — Bohemond having-reached as the account
φθάσας ἐδήλωσε, πλείω τῶν προτέρων στρατευμάτων
having-anticipated showed more than-the former armies

σπεύδων συναγαγεῖν πολλὰ τοῦ αὐτοκράτορος κατέτρεχε
hastening to-gather much the autocrat ran-down
κατὰ πᾶσαν πόλιν καὶ χώραν περιὼν καὶ παγάνον αὐτὸν
in every city and land going-around and pagan him
λαμπρᾷ τῇ φωνῇ ἀνακηρύττων καὶ τοῖς παγάνοις ὅλῃ
with-loud the voice proclaiming and the pagans with-whole
γνώμῃ ἐπαρήγοντα, τοῦτο ὁ αὐτοκράτωρ μεμαθηκὼς
mind helping this the autocrat having-learned
τοὺς ῥηθέντας κόμητας τὸ μέν τι καὶ αὐτῶν
the mentioned counts partly indeed somewhat also themselves
προθυμουμένων ἤδη πρὸς τὰς σφῶν ἀπιέναι χώρας,
being-eager already to the their to-go-away lands
τὸ δέ τι καὶ πρὸς ἔλεγχον τῶν κατ᾽ αὐτοῦ παρὰ
partly and somewhat also for refutation of-the against him by
τοῦ Βαϊμούντου διακηρυκευομένων δαψιλεῖς τὰς δωρεὰς
— Bohemond proclaimed(-things) lavish the gifts
ἐπιχορηγήσας αὐτοῖς οἴκαδε ἐξαπέστειλεν. αὐτὸς δὲ
having-supplied to-them homeward sent-off he and
πρὸς τὴν Θετταλοῦ πόλιν σπουδαίως ἐξῄει, ἅμα
to the of-Thessalos city zealously went-out at-the-same-time
μὲν καὶ τοὺς νεήλυδας τὰ στρατιωτικὰ παιδεύειν,
indeed both the new-recruits the military(-arts) to-train
ἅμα δὲ καὶ τὸν Βαϊμοῦντον ἐκ τῆς περὶ αὐτοῦ
at-the-same-time and also — Bohemond by the about him
φήμης ἀπείργεσθαι τῆς ἀπὸ Λογγιβαρδίας πρὸς τὴν
report to-deter from-the from Lombardy to the
ἡμεδαπὴν διαπεραιώσεως. ἀπελθόντες τοίνυν οἱ κόμητες
our(-land) crossing having-gone therefore the counts
ἐκεῖνοι ἔλεγχοι τοῦ Βαϊμούντου γεγόνασιν ἀψευδέστατοι
those refutations — of-Bohemond became most-truthful
ἀπατεῶνα ἀποκαλοῦντες αὐτὸν καὶ μηδ᾽ ἐπὶ τῷ τυχόντι
a-deceiver calling him and not-even on the chance(-thing)

ἐπαληθεύοντα κατὰ πρόσωπον αὐτὸν πολλάκις ἐλέγχοντες
telling-the-truth to face him often refuting
καὶ κατὰ πᾶσαν πόλιν καὶ χώραν ἀποκηρύττοντες,
and in every city and land denouncing
μάρτυρας αὐτοπίστους ἑαυτοὺς παριστῶντες.
witnesses self-attested themselves presenting

XIV · TANCRED AGAINST ASPIETES

Learning of Bohemond's crossing, Alexios recalls Kantakouzenos and Monastras, leaving Petzeas in Laodikeia and the Armenian Aspietes in Tarsus and Cilicia. Tancred threatens Cilicia, gathers an army, and attacks the cities of Mopsos by land and from the river Saron, while Aspietes spends his nights drinking. Anna defends her father's choice: Aspietes was of the Arsakids, and in the battle with Robert he had split a Celt's helmet and head after a spear passed through his body.

Ἐπεὶ δ' ἡ τοῦ Βαϊμούντου διαπεραίωσις ἁπανταχῇ
when and the — of-Bohemond crossing everywhere
διεδίδοτο καὶ πολλῶν ἐδεῖτο ὁ αὐτοκράτωρ δυνάμεων
was-spread-abroad and many needed the autocrat forces
καὶ ἀναλόγου στρατεύματος ἀντικαθισταμένου πρὸς τὰ
and proportionate army opposing against the
Κελτικὰ πλήθη, οὐκ ἔμελλεν οὐδ' ἀνεδύετο, ἀλλὰ τοὺς
Celtic multitudes not delayed nor shrank but the(-men)
περὶ τὴν Κοίλην Συρίαν μετεπέμπετο, τὸν Καντακουζηνόν
around — Koile Syria summoned — Kantakouzenos
φημι καὶ τὸν Μοναστρᾶν· ὁ μὲν γὰρ τὴν Λαοδίκειαν
I-say and — Monastras the(-one) indeed for — Laodikeia
ἐφρούρει, ὁ δὲ τὴν Ταρσόν. τούτους οὖν ἐκεῖθεν
guarded the(-other) and — Tarsus them then from-there
μεταπεμπόμενος οὐκ ἐρήμους τὰς ὑπ' αὐτῶν φρουρουμένας
summoning not deserted the by them guarded

χώρας καὶ πόλεις κατέλιπεν· ἐς μὲν γὰρ τὴν Λαοδίκειαν
lands and cities left to indeed for — Laodikeia
τὸν Πετζέαν μεθ᾽ ἑτέρων ἐκπέμπει δυνάμεων, ἐς δέ γε
— Petzeas with other sends-out forces to and at-least
Ταρσὸν καὶ ἁπάσας τὰς ὑπὸ τὸν Μοναστρᾶν πόλεις
Tarsus and all the under — Monastras cities
καὶ χώρας τὸν Ἀσπιέτην. ἀνὴρ δὲ οὗτος εὐγενὴς ἐξ
and lands — Aspietes man and this noble from
Ἀρμενίων ὁρμώμενος καὶ τῶν ἐπ᾽ ἀνδρείᾳ διαβεβοημένων,
Armenians originating and of-the for courage renowned
ὡς ἡ φήμη τὸ τηνικαῦτα ἐκήρυττε, κἂν ὁ τότε
as the rumor the then proclaimed even-if the then
καιρὸς οὐ πάνυ τοιοῦτον ὄντα ἐξήλεγξεν ὅσον γε
occasion not very such being proved as-far-as at-least
τὰ εἰς στρατηγικὴν δύναμιν. ὁ μὲν γὰρ τῆς
the(-things) for strategic ability the indeed for the(-city)
Ἀντιόχου ἐπιτροπεύων Ταγγρέ, ὃν ὁ λόγος φθάσας
of-Antiochos governing Tancred whom the account having-anticipated
καταλέλοιπεν ἐν Συρίᾳ, φήμας τε ὑπεπέμπετο πυκνάς, ὡς
has-left in Syria rumors both sent-abroad frequent that
ἄρα ταχὺ καταλάβοι τὴν Κιλικίαν ἐφ᾽ ᾧ πολιορκήσειν
after-all quickly be-would-reach — Cilicia for which to-besiege
αὐτὴν καὶ τῶν τοῦ βασιλέως ἀφελέσθαι χειρῶν, ἅτε ἰδίαν
it and from-the of-the emperor to-take-away hands as own
οὖσαν καὶ τῷ δόρατι τούτου τῶν Τούρκων ἀφαιρεθεῖσαν·
being and by-the spear his from-the Turks having-been-taken
καὶ οὐ μόνον φήμας τοιαύτας πανταχόσε κατέπεμπεν,
and not only rumors such everywhere sent-down
ἀλλὰ καὶ διὰ γραμμάτων ἠπείλει τὰ χείρω τούτων·
but also through letters threatened the worse(-things) than-these
ἃ καὶ τῷ Ἀσπιέτῃ καθ᾽ ἡμέραν ἑκάστην ἐνεχειρίζετο.
which also — to-Aspietes on day each were-delivered

καὶ οὐκ ἠπείλει μόνον, ἀλλὰ καὶ τῶν ἀπειλῶν πρόδρομά
and not threatened only but also of-the threats forerunners
τινα καὶ ἐποίει καὶ καθυπισχνεῖτο ποιεῖν δυνάμεις τε
some also made and promised to-do forces both
συναγηοχὼς ἁπανταχόθεν ἐξ Ἀρμενίων τε καὶ Κελτῶν
having-gathered from-everywhere from Armenians both and Celts
καὶ τούτους καθ' ἑκάστην ἡμέραν γυμνάζων καὶ πρὸς
and them on each day exercising and for
παρατάξεις καὶ μάχας ἐξομαλίζων τὸ στράτευμα καὶ ἔστιν
battle-lines and battles leveling the army and there-is
οὗ καὶ εἰς προνομὰς ἀποστέλλων καὶ τὸν καπνὸν πρὸ
where also on forays sending and the smoke before
τοῦ πυρὸς παρεμφαίνων τά τε πολιορκητικὰ ὄργανα
the fire displaying the both siege engines
κατασκευαζόμενος καὶ παντοιοτρόπως πρὸς τὴν πολιορκίαν
constructing and in-all-ways for the siege
ἑαυτὸν ἀνιστῶν. ἀλλὰ ταῦτα μὲν ἐκεῖνος· ὁ δὲ
himself rousing but these(-things) indeed he the and
Ἀρμένιος Ἀσπιέτης ὥσπερ μηδενὸς αὐτῷ ἐπικειμένου
Armenian Aspietes as-if nothing on-him pressing
μηδὲ φοβοῦντος μηδὲ τοσοῦτον ἐπικρεμαννύντος κίνδυνον
nor frightening nor so-great hanging-over danger
ἐκάθητο ῥᾳθυμῶν βαρυτάτους πότους νύκτωρ ἑαυτῷ
sat idling most-heavy drinking-bouts by-night for-himself
συνιστῶν. καίτοι ἀνδρικώτατός τε ἦν καὶ Ἄρεως
arranging although most-manly both he-was and of-Ares
ὑπασπιστὴς γενναιότατος· ἐπὰν δὲ Κιλικίᾳ προσώκειλε,
shield-bearer most-noble when and at-Cilicia he-landed
πόρρω δεσποτικῆς χειρὸς γεγονὼς καὶ ἐναυθεντήσας
far-from master's hand having-become and having-become-sole-ruler
τοῖς πράγμασι τρυφαῖς ἑαυτὸν ἐκδεδώκει παντοίαις. οὕτως
over-the affairs to-luxuries himself had-given-over of-all-kinds thus

ὁ Ἀρμένιος ἐκεῖνος ἐκθηλυνόμενος καὶ διαρρέων διηνεκῶς,
the Armenian that becoming-effeminate and dissolving continually
ἐπειδὴ καταλάβοι ὁ τῆς πολιορκίας καιρός, ἀναπεπτωκὼς
when should-come the of-the siege time slackened
ὤφθη πρὸς στρατιώτην φερεπονώτατον τὸν Ταγγρέ. καὶ
was-seen against a-soldier most-enduring — Tancred and
οὔτε πρὸς τὰς βροντὰς ἐκείνου τῶν ἀπειλῶν κατεκροτήθη
neither at the thunders his of-the threats was-deafened
τὴν ἀκοὴν οὔτε κεραυνοφόρου τούτου ἐληλυθότος διὰ τῶν
in-the hearing nor thunderbolt-bearing he having-come through the
κατὰ Κιλικίαν πορθήσεων πρὸς τὰς ἀστραπὰς ἐνητένιζεν.
in Cilicia sackings at the lightnings gazed
ὁ μὲν γὰρ Ταγγρὲ ἀθρόον ἐξ Ἀντιοχείας στρατεύσας
— indeed for Tancred all-at-once from Antioch having-levied
στρατὸν μυρίανδρον καὶ διχῇ τούτους διελόμενος τοὺς
an-army ten-thousand-strong and in-two them having-divided the(-ones)
μὲν διὰ τῆς ἠπείρου πέμπει ταῖς Μόψου πόλεσι, τοὺς
indeed through the mainland sends to-the of-Mopsos cities the(-others)
δὲ ναυσὶ τριήρεσιν ἐμβαλὼν διὰ τῆς θαλάττης ἄγει
and in-ships triremes having-put through the sea leads
τῷ ποταμῷ Σάρωνι. ῥεῖ δὲ ἄνωθεν οὗτος ἀπὸ τῶν
to-the river Saron flows and from-above this from the
τοῦ Ταύρου ὀρῶν καὶ διὰ μέσου παραρρέων τῶν δυεῖν
of-the Taurus mountains and through middle flowing-past of-the two
πόλεων Μόψου, τῆς τε καταλελυμένης καὶ τῆς ἱσταμένης,
cities of-Mopsos the both destroyed and the standing
ἐς τὸ Συριακὸν ἐκδίδωσι πέλαγος. ἀφ' οὗ αἱ νῆες
into the Syrian empties sea from which the ships
ἀναπλεύσασαι τοῦ Ταγγρὲ καὶ τῷ στόματι πελάσασαι
having-sailed-up — of-Tancred and to-the mouth having-approached
τούτου τοῦ ποταμοῦ πρὸς τὰς γεφύρας ἀνήχθησαν, αἳ
of-this the river to the bridges were-brought-up which

τὰς ἀμφοτέρας πόλεις ξυνάπτουσι. περιερρεῖτο τοίνυν ἡ
the both cities join was-flowed-around therefore the
πόλις ἑκατέρωθεν τῷ στρατεύματι βαλλομένη. ἔνθεν τοι
city on-both-sides by-the army being-struck whence surely
καὶ ῥᾳδίως εἶχον διαναυμαχεῖν πρὸς τὴν πόλιν οὗτοι
also easily they-had to-fight-by-sea against the city these
καὶ πεζομαχεῖν ἐκ θατέρου οἱ ἀπὸ τῆς γῆς αὐτὴν
and to-fight-on-foot from the-other-side the(-men) from the land it
ἐπιθλίβοντες. ὁ δὲ ὥσπερ μηδεμιᾶς καινοτομίας ὑπούσης
pressing he and as-if no innovation being-afoot
μηδὲ τοσούτου σμήνους στρατιωτῶν περιβομβοῦντος κύκλῳ
nor so-great swarm of-soldiers buzzing-around in-a-circle
τὴν πόλιν ὀλίγα τούτων ἐφρόντιζεν οὐκ οἶδ' ὅ τι
the city little of-these cared not I-know what —
παθὼν καὶ ἀναξίως τότε τῆς αὐτοῦ γενναιότητος
having-suffered and unworthily then of-the his nobility
διατεθείς. τοῦτο εὐμισητότατον τὸν ἄνδρα τῷ βασιλικῷ
having-been-disposed this most-hateful the man to-the imperial
στρατεύματι πεποίηκε. τί οὖν ἔδει παθεῖν τὰς
army made what then was-it-needful to-suffer the
Κίλικας πόλεις ὑπὸ τηλικούτου καταστρατηγουμένας
Cilician cities by so-great being-outgeneraled
ἀνδρός; τά τε γὰρ ἄλλα ὁ Ταγγρὲ ῥωμαλεώτατος
a-man the both for other(-respects) — Tancred most-robust
τῶν κατ' αὐτὸν ἐγεγόνει καὶ εἰς στρατηγικὴν ἐμπειρίαν
of-the in his-time had-been and in strategic experience
τῶν σφόδρα θαυμαζομένων, πολιορκῆσαι δὲ πόλεις
of-the very admired to-besiege and cities
ἀφυκτότατος στρατηγός. καὶ θαυμάσειέ τις ἐνταυθοῖ
a-most-inescapable general and might-wonder anyone here
γεγονώς, πῶς τὸν αὐτοκράτορα διέλαθε τὸ τοῦ Ἀσπιέτου
having-come how the autocrat escaped-notice the — of-Aspietes

ἀπειροπόλεμον. ἐγὼ δ' ἂν ὑπεραπολογησαίμην τοὐμοῦ
inexperience-in-war I and — would-plead-in-defense of-my
πατρός, ὅτι τὸ τοῦ γένους ἐπίσημον τὸν αὐτοκράτορα
father that the of-the family distinction the autocrat
πέπεικεν, ὡς ἥ τε τοῦ γένους λαμπρότης καὶ τὸ τοῦ
persuaded that the both of-the family brilliance and the of-the
ὀνόματος περιβόητον πολλὰ συνεισενεγκεῖν ἔχοι τῇ τοῦ
name renown much to-contribute might to-the —
Ἀσπιέτου ἀρχῇ. ἦν γὰρ τῶν Ἀρσακιδῶν τὰ πρῶτα
of-Aspietes command was for of-the Arsakids the first(-place)
φέρων ἐκεῖνος καὶ ἐκ βασιλικοῦ καταγόμενος αἵματος.
holding he and from royal descending blood
ἔνθεν τοι καὶ στρατοπεδάρχην αὐτὸν ἠξιώκει
whence surely also camp-commander him he-had-deemed-worthy
πάσης ἀνατολῆς καὶ εἰς ὑπερηφάνους βαθμίδας ἀνήνεγκεν
of-all east and to lofty steps raised
ἄλλως τε καὶ πεῖραν τῆς ἀνδρείας ἐκείνου λαβών.
otherwise both and trial of-the courage his having-taken
καὶ γὰρ ὁπόταν τῷ Ῥομπέρτῳ συνεκρότησε πόλεμον
and for when — with-Robert joined battle
ὁ αὐτοκράτωρ καὶ ἐμὸς γενέτης, καθάπερ ἐμνημόνευσα,
the autocrat and my father as I-mentioned
κατὰ τὴν τοῦ πολέμου ἐκείνου σύρραξιν Κελτός τις
in the of-the battle that clash a-Celt a-certain
ὑπερωμίας ἰθύνας τὸ δόρυ καὶ μυωπίσας τὸν ἵππον
over-the-shoulder having-aimed the spear and having-spurred the horse
καθάπερ τις σκηπτὸς ἐμπίπτει τῷ Ἀσπιέτῃ. ὁ δὲ τοῦ
like some thunderbolt falls-upon — Aspietes he and the
ξίφους ἐπιδραξάμενος δέχεται τὴν τοῦ Κελτοῦ βιαίαν
sword having-grasped receives the of-the Celt violent
φορὰν καὶ τιτρώσκεται μὲν καιριωτάτην πληγὴν τοῦ
charge and is-wounded indeed most-mortal blow the

δόρατος τὸν πνεύμονα μὲν παραμείψαντος, ἐκεῖθεν δὲ
spear the lung indeed having-passed-by from-there and
διὰ τῆς ῥάχεως διενεχθέντος· ὁ δὲ μήπω συγχυθεὶς τῇ
through the spine having-been-carried he and not-yet confounded by-the
πληγῇ μηδὲ τῆς ἕδρας ἐκκυλισθείς, ἀλλ' ἐδράσας ἑαυτὸν
blow nor from-the seat rolled-off but having-settled himself
ἰσχυρότερον παίει τὸν βάρβαρον κατὰ τῆς κόρυθος καὶ
more-firmly strikes the barbarian on the helmet and
δίχα διαιρεῖ καὶ τὴν κεφαλὴν καὶ τὴν κόρυθα. καὶ πίπτουσι
in-two divides both the head and the helmet and fall
καὶ ἄμφω τῶν ἵππων, ὁ μὲν νεκρὸς ὁ Κελτός, ὁ δ' —
also both from-the horses the indeed dead the Celt — and
Ἀσπιέτης ἔτι ἐμπνέων. ὃν οἱ ἀμφ' αὐτὸν ἀνελόμενοι
Aspietes still breathing whom the(-men) about him having-taken-up
γεγονότα παντάπασιν ἔξαιμον καὶ καλῶς ἐπιμεληθέντες
having-become entirely bloodless and well having-tended
πρὸς τὸν αὐτοκράτορα ἤνεγκαν δεικνύντες καὶ τὸ δόρυ
to the autocrat carried showing both the spear
καὶ τὴν πληγὴν καὶ τὸν θάνατον τοῦ Κελτοῦ διηγούμενοι.
and the wound and the death of-the Celt relating
ταύτης τῆς οὐκ οἶδ' ὅπως ἀνδρείας καὶ τόλμης τὸ
of-this the not I-know how courage and daring the
τηνικαῦτα τῷ Ἀσπιέτῃ μεμνημένος ὁ αὐτοκράτωρ καὶ
then — of-Aspietes mindful the autocrat and
τούτοις ἐπισυνάψας τὸ γένος καὶ τὴν ἀπὸ τοῦ γένους
to-these having-added the family and the from the family
εὔκλειαν *** ἀξιόμαχον στρατηγὸν ἀποστέλλει κατὰ
glory (lacuna) a-match-for-battle general sends in
τὴν Κιλικίαν πρὸς τὸν Ταγγρὲ στρατοπεδάρχην τετιμηκώς,
— Cilicia against — Tancred camp-commander having-honored
καθάπερ φθάσασα γέγραφα.
as having-anticipated I-have-written

XV · EIRENE ON CAMPAIGN

Alexios orders the western commanders to Sthlanitza and goes himself to Thessalonike, in the twentieth year of his reign, taking the Augusta with him. Eirene loved to keep at home with her books, prayers, and good works, and, outdoing Theano, would not show even her forearm; she goes because of his gout, whose pains her hands relieve, and to guard him against plotters. She travels in a covered litter, gives to every beggar on the road, and sends the sturdy to work.

Ἀλλὰ ταῦτα μὲν περὶ τούτων· πρὸς δέ γε τοὺς κατὰ
but these(-things) indeed about these(-men) to and at-least the in
τὴν ἑσπέραν ἐνδιατρίβοντας ἡγεμόνας ἑτέρας ἐκπέμπει
the west staying leaders other sends
γραφὰς κατευθὺ Σθλανίτζης τὴν πορείαν ἐντειλάμενος
letters straight-for Sthlanitza the march having-enjoined
ποιεῖσθαι. τί δέ; τοὺς μὲν προμάχους μετεκαλεῖτο, αὐτὸς
to-make what and the indeed front-fighters he-summoned he
δὲ ἀναπεπτώκει ῥᾳστώνης ἀπολαύων καὶ βαλανείοις
and was-slack ease enjoying and baths
χρώμενος, ὁποῖα εἰώθασιν οἱ τὸν βοσκηματώδη βίον
using such-as are-wont the the beast-like life
προελόμενοι βασιλεῖς; οὐμενοῦν, ἀλλ' οὐδὲ περὶ τὰ
having-preferred emperors not-at-all but not-even about the
ἀνάκτορα ὅλως ἐνδιατρίβειν ἔτι ἠνέσχετο. ἐξεληλυθὼς
palace at-all to-stay any-longer endured having-gone-out
δὲ τοῦ Βυζαντίου, ὡς ἄνωθεν εἴρηται, κατὰ τὸ μέσον τῶν
and — from-Byzantium as above has-been-said to the middle of-the
ἑσπερίων ἐληλύθει χωρῶν τὴν Θετταλοῦ πόλιν καταλαβὼν
western had-come lands the of-Thessalos city having-reached
εἰς μῆνα Σεπτέμβριον ἐπινεμήσεως τεσσαρεσκαιδεκάτης
in month September of-indiction fourteenth
εἰκοστοῦ ἔτους ὄντος, ἐξ οὗ τὰς τῆς βασιλείας
twentieth year being from when the of-the empire

ἡνίας περιεζώσατο. καὶ τὴν Αὔγουσταν δὲ παρεβιάσατο
reins he-had-girded-on and the Augusta and he-constrained
συνεξεληλυθέναι μετ᾽ αὐτοῦ. ὁ γὰρ τρόπος ἐκείνης τοιοῦτός
to-have-gone-out-with with him the for manner her such
τις ἦν. οὐ πάνυ τι δημοσιεύεσθαι ἤθελεν, ἀλλὰ τὰ
some was not very at-all to-appear-in-public she-wished but the
πολλὰ μὲν οἰκουροῦσα ἦν καὶ τὰ ἐκείνης ἔργα ἐποίει,
most indeed keeping-house she-was and the her works did
λέγω δὲ βίβλων τε ἀνελίξεις τῶν μακαρίων ἀνδρῶν καὶ
I-mean and of-books both unrollings of-the blessed men and
τὸ πρὸς ἑαυτὴν ἐπιστρέφειν καὶ εὐποιίας καὶ χάριτας εἰς
the to herself to-turn and good-deeds and kindnesses to
ἀνθρώπους, μάλιστα δὲ εἰς ἐκείνους, οὓς οἶδεν ἀπό τε τοῦ
men most-of-all and to those whom she-knew from both the
σχήματος ἀπό τε τοῦ βίου θεραπεύειν Θεὸν καὶ προσευχῇ
habit from and the life to-serve God and to-prayer
προσανέχειν καὶ καταλλήλοις ᾠδαῖς. ἐπειδὰν δὲ μέλλοι
to-attend and to-fitting songs when and she-was-about
δημοσιεύσειν ἑαυτὴν κατά τινα χρείαν ἀναγκαιοτάτην ὡς
to-show-in-public herself for some need most-necessary as
βασιλίδα, αἰδοῦς τε ὑπεπίμπλατο καὶ ἐρύθημα εὐθὺς
empress with-modesty both she-was-filled and a-blush at-once
ἐξηνθήκει ταῖς παρειαῖς. καὶ ἡ μὲν φιλόσοφος Θεανὼ τοῦ
had-bloomed on-the cheeks and the indeed philosopher Theano the
πήχεως αὐτῆς γυμνωθέντος, ἐπειδή τις παίζων εἰρήκει
forearm of-her having-been-bared when someone joking had-said
πρὸς ταύτην "καλὸς ὁ πῆχυς", "ἀλλ᾽ οὐ δημόσιος" εἶπεν
to her beautiful the forearm but not public said
ἐκείνη· ἡ δὲ βασιλὶς καὶ μήτηρ ἐμή, τὸ τῆς σεμνότητος
she the and empress and mother my the of-the reverence
ἄγαλμα, τὸ τῆς ἁγιότητος καταγώγιον, μὴ ὅτι γε πῆχυν
image the of-the holiness dwelling not that at-least forearm

ἢ βλέμμα δημοσιεύειν ἠγάπα, ἀλλ᾽ οὐδὲ φωνὴν ἐκείνης
or glance to-show-in-public loved but not-even voice her
ἤθελεν εἰς ἀσυνήθεις παραπέμπεσθαι ἀκοάς. τοσοῦτον ἦν
she-wished to unaccustomed to-be-conveyed ears so-much was
ἐκείνη χρῆμα θαυμάσιον εἰς αἰδῶ. ἐπεὶ δὲ ἀνάγκη οὐδὲ
she a-thing marvelous for modesty since and necessity not-even
θεοί, φησι, μάχονται, ἀναγκάζεται πρὸς τὰς συχνὰς τοῦ
gods he-says fight she-is-compelled to the frequent of-the
αὐτοκράτορος ἐκστρατεύσεις αὐτῷ παρακολουθεῖν. κατεῖχε
autocrat expeditions him to-follow held
μὲν γὰρ αὐτὴν ἡ σύμφυτος αἰδὼς ἔνδον τῶν βασιλείων,
indeed for her the inborn modesty within the palace
τὸ δὲ πρὸς τὸν αὐτοκράτορα φίλτρον καὶ ἡ διάπυρος
the and toward the autocrat love and the burning
πρὸς ἐκεῖνον ἀγάπη ἐξῆγεν αὐτὴν καὶ μὴ βουλομένην
toward him affection led-out her even not wishing
τῶν ἀνακτόρων διὰ ταυτασὶ τὰς αἰτίας, πρῶτον μὲν ὅτι
from-the palace for these-here the reasons first indeed that
τὸ συμπεσὸν αὐτῷ νόσημα τῶν ποδῶν ἐπιμελείας ἐδεῖτο
the having-befallen him disease of-the feet care needed
πλείστης. καὶ γὰρ ἀλγηδόνας εἶχε δριμείας ὁ αὐτοκράτωρ
very-much and for pains he-had sharp the autocrat
ἐκ τῆς ποδαλγικῆς διαθέσεως καὶ οὐδεμίαν ἐπαφὴν οὕτω
from the gouty condition and no touch thus
προσίετο ὡς τῆς ἐμῆς δεσποίνης καὶ μητρός. ἐμμελῶς
admitted as of-the my lady and mother skillfully
τε γὰρ αὐτῷ προσεφέρετο καὶ προσψαύουσα δεξιῶς τὰς
both for to-him she-applied-herself and touching dexterously the
ὀδύνας τῶν ποδῶν ὑπεκούφιζέ πως. ὁ γάρ τοι βασιλεὺς
pains of-the feet relieved somehow the for surely emperor
ἐκεῖνος (καὶ μοὶ μηδεὶς τῆς περιαυτολογίας ἐπιμεμφέσθω·
that also to-me no-one for-the self-praise let-blame

τὰ γὰρ οἰκεῖα θαυμάζω· μηδ' ὡς καταψευδομένην
the(-things) for own I-admire nor as lying-against
τοῦ αὐτοκράτορος ὑφοράσθω· τὰ γὰρ ἀληθῆ λέγω)
the autocrat let-suspect the(-things) for true I-say
πάντα τὰ ἑαυτοῦ καὶ τὰ κατ' αὐτὸν κατόπιν
all the(-things) his-own and the(-things) concerning him after
ἐποιεῖτο τῆς σωτηρίας τῶν πόλεων. οὐδὲν γὰρ ἐχώριζεν
made of-the safety of-the cities nothing for separated
αὐτὸν τῆς τῶν Χριστιανῶν ἀγάπης, οὐκ ἀλγηδόνες, οὐχ
him from-the of-the Christians love not pains not
ἡδοναί, οὐ πολέμων κακώσεις, οὐκ ἄλλο οὐδέν, οὐ μικρὸν
pleasures not of-wars hardships not other nothing not small
οὐ μέγα, οὐχ ἡλίου φλογώσεις, οὐ χειμώνων δριμύτητες,
not great not of-sun burnings not of-winters severities
οὐ προσβολαὶ βαρβάρων παντοδαπαί· ἀλλ' ἀκλινῶς εἶχε
not attacks of-barbarians of-all-kinds but unbendingly he-held
πρὸς ἅπαντα ταῦτα καὶ ὤκλαζε μὲν πρὸς τὴν φύρσιν
against all these(-things) and bent indeed toward the onset
τῶν νοσημάτων, ἀνετανέθορε δὲ πρὸς τὴν βοήθειαν τῶν
of-the diseases sprang-up-again and to the aid of-the
πραγμάτων. δεύτερον δὲ καὶ μέγιστον αἴτιον τοῦ τὴν
affairs second and also greatest cause of-the the
βασιλίδα συνοπαδὸν εἶναι τῷ αὐτοκράτορι, ὅτι τοι πολλῶν
empress companion to-be to-the autocrat that surely many
ἐπιβούλων ἀναφυομένων ἁπανταχόθεν πολλῆς ἐδεῖτο τῆς
plotters springing-up from-everywhere much needed the
ἐπιβλέψεως καὶ ὡς ὄντως πολυομμάτου δυνάμεως. καὶ γὰρ
watching and as truly many-eyed power and for
καὶ νὺξ αὐτῷ ἐπίβουλος ἦν καὶ τὸ μεσαίτατον τῆς ἡμέρας,
also night to-him plotter was and the very-middle of-the day
καὶ ἡ ἑσπέρα προσανέφυέ τι κακὸν καὶ ἡ πρῷα ἐτέκταινε
and the evening brought-forth some evil and the morning contrived

χείριστα· μάρτυς τούτων Θεός. ἆρ᾽ οὖν οὐκ ἔδει
worst(-things) witness of-these God is-it then not was-it-needful
τὸν βασιλέα ὑπὸ τοσούτων κακῶν ἐπιβουλευόμενον ὑπὸ
the emperor by so-many evils being-plotted-against by
μυρίων ὀμμάτων φρουρεῖσθαι, τῶν μὲν ἐπιτοξαζόντων
countless eyes to-be-guarded of-the(-ones) indeed shooting-arrows
αὐτῷ, τῶν δὲ τὸ ξίφος παραθηγόντων, τῶν δ᾽
at-him of-the(-others) and the sword sharpening of-the(-others) and
ἀφιέντων, ὁπόταν οὐκ ἐνῆν τι δρᾶσαι, λοίδορον
letting-loose when not it-was-possible anything to-do reviling
γλῶτταν καὶ τὸ κακῶς εἰπεῖν; τίνα τοίνυν ἔδει
tongue and the badly to-speak whom therefore was-it-needful
παρεῖναι τῷ βασιλεῖ σύμμαχον παρὰ τὴν σύμφυτον
to-be-at-hand to-the emperor ally other-than the inborn
σύμβουλον; τίς μᾶλλον ἐκείνης πλέον ἐπεσκέπτετο μὲν τὸν
counselor who more than-she more watched indeed the
αὐτοκράτορα, ὑπεβλέπετο δὲ τοὺς ἐπιβουλεύοντας, ὀξεῖα
autocrat watched-askance and the plotters sharp
μὲν τὸ συμφέρον ἐκείνῳ ἰδεῖν, ὀξυτέρα δὲ τὸ παρὰ τῶν
indeed the advantageous for-him to-see sharper and the by the
ἐχθρῶν σκευωρούμενον κατιδεῖν; διὰ ταῦτα καὶ πάντα
enemies being-contrived to-perceive because-of these(-things) also all
ἐν πᾶσιν ἦν ἡ ἐμὴ μήτηρ τῷ δεσπότῃ μου καὶ πατρί,
in all was the my mother to-the master my and father
καὶ νύκτωρ ἄγρυπνον ὄμμα καὶ ἡμέρας περιφανέστατος
and by-night sleepless eye and by-day most-conspicuous
φυλακτὴρ καὶ τραπέζης καιροῖς ἀντίδοτος ἀγαθὴ καὶ
guard and of-table at-times antidote good and
τῆς ἀπὸ τροφῶν ἀδικίας φυγαδευτήριον φάρμακον. ταῦτα
of-the from foods injury repelling remedy these
τοίνυν τὰ αἴτια τὴν σύμφυτον αἰδῶ τῆς γυναικὸς ἐκείνης
therefore the causes the inborn modesty of-the woman that

παρηγκωνίζετο, καὶ ἐθάρρει τοὺς ἄρρενας ὀφθαλμούς·
elbowed-aside and she-faced the male eyes
καίτοι οὐδὲ τότε τῆς συνήθους εὐκοσμίας ἐπελανθάνετο,
although not-even then the customary decorum she-forgot
ἀλλὰ καὶ βλέμματι καὶ σιγῇ καὶ τῇ περὶ αὐτὴν θεραπείᾳ
but also by-glance and silence and by-the around her attendance
τοῖς πλείοσι μὲν ἀγνωστοτέρα ἐτύγχανε· καὶ τοῦτο μόνον,
to-the most indeed more-unknown she-happened and this only
ὅτι βασιλὶς παρέπεται τῷ στρατεύματι, ὁ φερόμενος
that empress accompanies the army the carried
ταῖν ἡμιόνοιν οἰκίσκος ἐδείκνυ καὶ τὸ ἄνωθεν βασιλικὸν
on-the-two mules little-house showed and the above imperial
καταπέτασμα, τὰ δ' ἄλλα ἐπηλυγάζετο τὸ θεῖον
curtain the(-things) and other was-concealed the divine
ἐκείνης σῶμα. μόνον ὅτι πρόνοιά τις ἀρίστη τὰ
her body only that providence some best the(-things)
κατὰ τὴν νόσον τοῦ βασιλέως διεξάγοι καὶ φρουρὰ
concerning the illness of-the emperor managed and guard
βασιλέως ἀκοίμητος παρὰ πᾶσι διεγινώσκετο καὶ ὄμμα
of-the-emperor sleepless by all was-recognized and eye
ἐγρηγορὸς καὶ μὴ ἐπινυστάζον τοῖς πράγμασι. καὶ ἡμεῖς
wakeful and not nodding-off at-the affairs and we
δέ, ὅσοι περὶ τὸν αὐτοκράτορα εὖνοι, περὶ τὴν ἐκείνου
too as-many-as around the autocrat loyal about the his
φρουρὰν διεπονούμεθά τε καὶ συνηρόμεθα τῇ δεσποίνῃ καὶ
guard toiled both and helped the lady and
μητρὶ ἕκαστος ὡς εἶχεν ὅλῃ ψυχῇ καὶ γνώμῃ μηδ'
mother each as he-was with-whole soul and mind not-even
ἐπινυστάζοντες ὅλως. ταῦτα πρὸς τοὺς φιλοσκώμμονας
nodding-off at-all these(-things) to the scoffers
καὶ τὰς φιλολοιδόρους γλώττας γεγράφαται. τόν τε
and the abuse-loving tongues have-been-written the both

γὰρ ἀναίτιον ὑπ᾽ αἰτίασιν ἄγουσι (καὶ τοῦτον οἶδε τὸν
for blameless under accusation they-bring and this knows the
ἀνθρώπινον τρόπον καὶ ἡ Ὁμήρου Μοῦσα) καὶ τὰ καλῶς
human way also the of-Homer Muse and the well
πεπραγμένα διαφαυλίζουσι καὶ ὑπὸ μέμψιν ποιοῦσι τὸ
done(-things) disparage and under blame make the
ἄμεμπτον. καίτοι ἐκείνη κατὰ τὴν ἐκστρατείαν τὴν κατ᾽
blameless although she in the expedition the at
ἐκεῖνο καιροῦ γεγονυῖαν (κατὰ γὰρ τοῦ Βαϊμούντου τὴν
that time having-happened against for — Bohemond the
ὁρμὴν ὁ βασιλεὺς ἐπεποίητο) τὸ μέν τι ἄκουσα,
impulse the emperor had-made partly indeed somewhat unwillingly
τὸ δ᾽ ἑκουσίως συνείπετο. οὐ γὰρ συνεισβαλεῖν ἔδει
partly and willingly followed not for to-invade-with it-was-needful
τὴν βασιλίδα τῷ βαρβαρικῷ στρατεύματι. πῶς γὰρ ἄν;
the empress with-the barbarian army how for —
Τομύριδος ταῦτα καὶ Σπαρέθρας τῆς Μασσαγέτιδος,
of-Tomyris these(-things) and of-Sparethra the Massagetan
ἀλλ᾽ οὐχὶ τῆς ἐμῆς Εἰρήνης. ἄλλοσε γὰρ ἐτρέπετο τὸ
but not of-the my Eirene elsewhere for turned the
ταύτης ἀνδρεῖον καὶ ἄλλως ἐξώπλιστο, ἀλλ᾽ οὐ τῷ
her courage and otherwise she-was-armed but not with-the
τῆς Ἀθηνᾶς δόρατι οὐδὲ τῇ κυνέῃ τοῦ Ἅιδος· ἀλλ᾽
— of-Athena spear nor with-the cap — of-Hades but
ἀσπὶς μὲν ἐκείνῃ καὶ θυρεὸς καὶ ξίφος ἐς τὸ πρὸς
shield indeed for-her and long-shield and sword for the against
τὰς συμφορὰς καλῶς ἀντιπαρατάσσεσθαι καὶ τὰς τοῦ
the misfortunes well to-be-arrayed and the of-the
βίου ἐπαναστάσεις, ἃς οἶδεν ἡ βασίλεια τοῖς βασιλεῦσιν
life revolts which knows the empire on-the emperors
ἐπικειμένας, ἡ περὶ τὰ πράγματα δραστηριότης καὶ τὸ
pressing the in the affairs energy and the

κατὰ τῶν παθῶν ἐπιπληκτικώτατον καὶ ἡ ἀνυπόκριτος
against the passions most-reproving and the unfeigned
πίστις, ὡς Σολομῶντι δοκεῖ. οὕτως ἡ ἐμὴ μήτηρ καὶ
faith as to-Solomon seems thus the my mother also
πρὸς τοιούτους πολέμους ἐσκεύαστο, τὰ δ' ἄλλα
for such wars was-equipped the(-things) and other
εἰρηνικωτάτη ἦν κατὰ τοὔνομα. ἀλλ' ἐπειδὴ τὰ
most-peaceful she-was according-to the-name but since the(-things)
μὲν τῆς συμπλοκῆς τῶν βαρβάρων ἔμελλε, πρὸς δὲ
indeed of-the engagement with-the barbarians was-about-to(-be) to and
παρασκευὴν τῶν τῆς συμπλοκῆς ὁ βασιλεὺς ἀφεώρα
preparation of-the(-things) of-the engagement the emperor looked
καὶ τὰ μὲν ἀσφαλίσασθαι τῶν φρουρίων σκοπὸν
and the(-places) indeed to-secure of-the forts aim
εἶχε, τὰ δὲ κατοχυρῶσαι καὶ ὅλως εὔοδα πάντα
he-had the(-places) and to-fortify and wholly smooth all
τὰ κατὰ τοῦ Βαϊμούντου καταστήσασθαι ἔσπευδε,
the(-things) against — Bohemond to-arrange hastened
συνεξυπήγετο καὶ τὴν βασιλίδα τὸ μέν τι καὶ ἑαυτοῦ
he-led-along-with also the empress partly indeed somewhat also himself
ἕνεκα καὶ δι' ἃς αἰτίας εἰρήκειμεν, τὸ δέ τι καὶ
for-the-sake and for which causes we-had-said partly and somewhat also
ἐν τῷ ἀκινδύνῳ τῶν πραγμάτων ἔτι καθεστηκότων καὶ
in the safety of-the affairs still standing and
μήπω καιροῦ πολέμου ἐπιδεδημηκότος. ἀναλαβομένη τοίνυν
not-yet time of-war having-come having-taken therefore
ὁπόσον διὰ χρυσοῦ καὶ ἄλλης ποιότητος προσῆν αὐτῇ
as-much-as through gold and other quality was-available to-her
χάραγμα καὶ ἕτερά τινα τῶν χρημάτων ἔξεισι τῆς
coin and other some of-the goods she-goes-out from-the
πόλεως. καὶ τοῦ λοιποῦ ἐν τῷ διιέναι τὰς ὁδοὺς
city and for-the rest in the passing-through the roads

πᾶσι τοῖς ἐπαίταις καὶ τοῖς σισυροφόροις καὶ γυμνοῖς
to-all the beggars and the(-ones) wearing-rough-cloaks and naked
δαψιλῆ τὴν χεῖρα παρεῖχε· καὶ οὐδεὶς ὁ αἰτησάμενος καὶ
lavish the hand gave and no-one the having-asked also
κενὸς ἀπελθών. ἐπὰν δὲ τὴν ἀποτεταγμένην σκηνὴν
empty having-gone-away when and the assigned tent
κατειλήφει, οὐ πρὸς ῥᾳστώνην εὐθὺς ἀπέκλινεν εἴσω
she-had-reached not to ease at-once she-turned inside
ταύτης γεγονυῖα, ἀλλ' ἀναπετανν῀υσα ταύτην ἄνετον τοῖς
it having-come but opening it free to-the
αἰτοῦσι παρεῖχε τὴν εἴσοδον. τοῖς τοιούτοις γὰρ καὶ μάλα
asking she-gave the entrance to-the such for also very
εὐπρόσιτος ἦν καὶ παρεῖχεν ἑαυτὴν ὁρᾶσθαί τε καὶ
accessible she-was and offered herself to-be-seen both and
ἀκούεσθαι. οὐ χρημάτων δὲ μετεδίδου τοῖς πένησι μόνον,
to-be-heard not of-money and she-gave-a-share to-the poor only
ἀλλὰ καὶ τὰ λῴονα συνεβούλευε. καὶ ὁπόσους μὲν
but also the better(-things) she-advised and as-many-as indeed
εὐρώστους τὰ σώματα κατενόει, ῥᾳθύμως δὲ περὶ τὸν βίον
sturdy the bodies she-perceived idly and about the life
ἔχοντας, πρὸς ἔργα καὶ πράξεις προὐτρέπετο, ἵν' ἐντεῦθεν
being to works and deeds she-urged that thence
τὰ πρὸς χρείαν κομίζοιντο, καὶ μὴ δι' ἀμέλειαν
the(-things) for need they-might-get and not through negligence
ἀναπεπτωκότας θύραν ἐκ θύρας ἐπαιτοῦντας περινοστεῖν.
slackened door from door begging go-around
καιρὸς δὲ οὐδεὶς τῆς τοιαύτης ἐργασίας ἀπεῖργε τὴν
occasion and none of-the such work kept-away the
βασιλίδα. ὁ μὲν οὖν Δαυὶδ μετὰ κλαυθμοῦ τὸ πόμα
empress — indeed then David with weeping the drink
κιρνῶν φαίνεται· ἡ δέ γε βασιλὶς αὕτη καὶ τροφὴν καὶ
mixing appears the and at-least empress this both food and

ποτὸν ἐλέῳ συγκερανν῀σα καθ᾽ ἑκάστην ἐδείκνυτο. καὶ
drink with-mercy mixing on each(-day) was-seen and
πολλὰ ἂν εἶχον εἰπεῖν περὶ ταύτης τῆς βασιλίδος, εἰ
much — I-would-have to-say about this the empress if
μὴ τὸ θυγάτριον εἶναι ψεύδους παρεῖχεν ὑπόνοιαν καὶ ὅτι
not the little-daughter to-be of-falsehood gave suspicion and that
μητρὶ χαριζόμεθα. πρὸς δὲ τοὺς ταῦτα ὑπονοο῀ντας
to-mother we-gratify to and the(-men) these(-things) suspecting
παρέξομαι τοῖς λόγοις συνεπιμαρτυροῦντα τὰ πράγματα.
I-will-provide to-the words bearing-witness-with the facts

XVI · THE COMET AND THE FALLEN STATUE

A great comet shines for forty days from west to east. The prefect Basil, asked its meaning, sees Saint John the Evangelist in a vision, who tells him it foretells a movement of the Celts and their ruin. Alexios trains recruits at Thessalonike, makes Alexios, son of Isaac, governor of Dyrrachion, and orders fleets built. Bolkanos sues for peace. After the emperor's return to the City a gale throws down the bronze statue on the porphyry column of the Forum, and he refuses to read his death in an idol's fall.

Τὸν δέ γε αὐτοκράτορα τὴν Θεσσαλονίκην καταλαβόντα
the and at-least autocrat — Thessalonike having-reached
μεμαθηκότες οἱ ἐκ τῶν ἑσπερίων λήξεων, καθάπερ τὰ
having-learned the(-men) from the western districts as the
βαρέα τῶν σωμάτων ἐπὶ κέντρα φέρεται, οὕτω δὴ καὶ
heavy(-ones) of-the bodies to centers are-borne thus indeed also
ἅπαντες πρὸς αὐτὸν ἐφοίτων. ἀκρὶς μὲν οὖν οὐ προηγήσατο
all to him came locust indeed then not went-before
τῶν Κελτῶν καθαπερεὶ τῶν πρότερον διελθόντων· ἐν
the Celts as-with the earlier having-passed in

οὐρανῷ δὲ κομήτης ἐφάνη μέγας καὶ τῶν πάλαι φανέντων
heaven and comet appeared great and of-the long-ago having-appeared
ὁ μέγιστος, ὃν οἱ μὲν δοκίδα, οἱ δ' ἀκοντίαν
the greatest which the(-ones) indeed beam the(-others) and javelin
ἔφασαν εἶναι. ἔδει γὰρ τῶν μελλόντων καινισθῆναι
said to-be it-was-needful for of-the about-to be-innovated
ξενοπρεπῶν πραγμάτων προοίμιά τινα προκαταγγελτικὰ
strange affairs preludes some foretelling
τούτων μηνυθῆναι ἄνωθεν. καὶ γὰρ ἦν τοῦτον θεᾶσθαι
of-these to-be-revealed from-above and for it-was-possible it to-see
ἐπὶ τεσσαράκοντα νυχθημέροις ὅλοις παμφαίνοντα· ἐφαίνετο
for forty nights-and-days whole shining-all-over it-appeared
δὲ ἀπὸ τῶν δυτικῶν μερῶν ἐξιὼν καὶ πρὸς ἀνατολὰς
and from the western parts coming-out and to risings
ἡλίου διήκων. ὃν οἱ θεώμενοι ἅπαντες ἐκδειματούμενοι
of-the-sun reaching which the beholding all being-terrified
ἐζήτουν, τίνων ὁ ἀστὴρ ἄγγελός ἐστιν. ὁ δὲ αὐτοκράτωρ
sought of-what the star messenger is the and autocrat
μηδὲ πάνυ τοῖς τοιούτοις προσέχων, ἀλλὰ φυσικῆς τινος
not-even very to-the such attending but natural some
ἐξηρτῆσθαι τὰ τοιαῦτα αἰτίας δοξάζων, ὅμως ἠρώτα
to-depend the such(-things) on-cause holding nevertheless asked
τοὺς περὶ τὰ τοιαῦτα δεινούς· μεταπεμψάμενος δὲ
the(-men) about the such(-things) skilled having-summoned and
καὶ τὸν τῆς ἐπαρχίας τοῦ Βυζαντίου τὴν ἀξίαν πρώην
also the of-the prefecture — of-Byzantium the rank lately
εἰληφότα Βασίλειον (ἀνὴρ δὲ οὗτος πολλὴν τὴν περὶ τὸν
having-received Basil man and this much the toward the
αὐτοκράτορα εὔνοιαν ἐνδεικνύμενος) περὶ τοῦ φανέντος
autocrat goodwill showing about the having-appeared
ἀστέρος ἐπυνθάνετο. ὁ δὲ ἐς νέωτα φυλάξειν ἐπηγγείλατο
star he-inquired he and for tomorrow to-keep promised

τὴν ἀπόκρισιν καὶ ἀπελθὼν οὗ κατέλυε (τέμενος δὲ
the answer and having-gone where he-lodged shrine and
τοῦτο ἐπ᾽ ὀνόματι τοῦ εὐαγγελιστοῦ Ἰωάννου πάλαι
this in name of-the evangelist John long-ago
ἀνοικοδομηθέν), ἐπεὶ πρὸς δυσμὰς ὁ ἥλιος ἦν, περιεσκόπει
built when to setting the sun was he-watched
τὸν ἀστέρα. διαπορουμένῳ δὲ καὶ καμόντι τοῖς λογισμοῖς
the star being-perplexed and also wearied in-the reasonings
ὑπνῶσαι ξυμβεβήκει καὶ τηνικαῦτα τὸν ἅγιον θεάσασθαι
to-fall-asleep it-happened and then the saint to-behold
ἱερατικῶς ἐσταλμένον. ὁ δὲ περιχαρὴς γεγονὼς οὐκέτ᾽
priestly robed he and overjoyed having-become no-longer
ὄναρ ἐδόκει, ἀλλ᾽ ὕπαρ ὁρᾶν. ἔνθεν τοι καὶ γνωρίσας
dream thought but waking to-see whence surely also having-recognized
τὸν ἅγιον ἔμφοβος γενόμενος μεθ᾽ ὑποστολῆς ᾐτεῖτο, τίνων
the saint fearful having-become with reverence asked of-what
ἀγγελτικὸς ὁ ἀστήρ ἐστι, γνωρίσαι οἱ. ὁ δὲ Κελτῶν
announcing the star is to-make-known to-him he and of-Celts
κίνησιν προσημαίνειν τοῦτον ἔφη· "τὸ δὲ σβέννυσθαι τὴν
movement to-foreshadow it he-said the and to-be-quenched the
τούτων αὐτοῦ που κατάλυσιν δηλοῖ." ἀλλὰ περὶ μὲν τοῦ
their there somewhere dissolution shows but about indeed the
φανέντος ἀστέρος τοιαῦτα· ὁ δὲ βασιλεὺς τὴν Θεσσαλονίκην
appeared star such(-things) the and emperor — Thessalonike
καταλαβών, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, ἡτοιμάζετο
having-reached as the account having-anticipated showed was-preparing
πρὸς τὴν τοῦ Βαϊμούντου διαπεραίωσιν ἐκπαιδεύων μὲν
for the — of-Bohemond crossing training indeed
τοὺς νεολέκτους τόξον τε τείνειν καὶ βέλη κατὰ σκοποῦ
the new-recruits bow both to-draw and arrows at mark
πέμπειν καὶ περιφράττεσθαι θυρεῷ, ἀλλὰ καὶ ξενικὰς
to-send and to-fence-themselves with-long-shield but also foreign

ἐξ ἀλλοδαπῶν διὰ γραμμάτων παρασκευάζων δυνάμεις,
from foreign-lands through letters preparing forces
ἵν', ὁπηνίκα καιρὸς καλοίη, θᾶττον παραγένωνται. πολλὴν
that when occasion should-call more-quickly they-might-come much
δὲ καὶ τοῦ Ἰλλυρικοῦ ἐπεποίητο πρόνοιαν τήν τε πόλιν
and also — of-Illyricum had-made provision the both city
τὸ Δυρράχιον ἀσφαλισάμενος καὶ ἡγεμόνα ταύτης τὸν
— Dyrrachion having-secured and governor of-it the
δεύτερον υἱὸν Ἰσαακίου τοῦ σεβαστοκράτορος Ἀλέξιον
second son of-Isaac the sebastokrator Alexios
καταστησάμενος. ἅμα δὲ κἀκ τῶν Κυκλάδων
having-appointed at-the-same-time and also-from the Cyclades
νήσων καὶ τῶν παρὰ θάλασσαν τῆς Ἀσίας πόλεων καὶ
islands and the by sea — of-Asia cities and
αὐτῆς τῆς Εὐρώπης στόλον παρεκελεύσατο ἀπαρτίσαι·
itself — of-Europe fleet ordered to-complete
πολλῶν δὲ παρεμποδιζόντων τὴν τοῦ στόλου κτίσιν διὰ
many and hindering the of-the fleet building because-of
τὸ μήπω τὴν τοῦ Βαϊμούντου κατεπείγειν διαπεραίωσιν,
the not-yet the — of-Bohemond to-press crossing
ὁ δ' ὅμως οὐκ ἐπείθετο λέγων δεῖν εἶναι τὸν
he and nevertheless not was-persuaded saying to-be-needful to-be the
στρατηγὸν ἀνύστακτον φύλακα καὶ μὴ πρὸς τὰ ἐν
general a-sleepless guard and not for the(-things) at
ποσὶ μόνον παρασκευάζεσθαι, ἀλλὰ καὶ τὰ πόρρω
feet only to-prepare but also the(-things) far-off
ὁρᾶν μήτε μὴν φειδοῖ χρημάτων καιροῦ καλοῦντος
to-see nor indeed through-sparing of-money occasion calling
ἀνέτοιμον φαίνεσθαι καὶ μᾶλλον, ὁπηνίκα ἔφοδον ἐχθροῦ
unready to-appear and more when attack of-enemy
αἴσθηται. ταῦτα τοίνυν δεξιώτατα διαθέμενος ἐκεῖθεν
he-perceives these(-things) therefore most-skillfully having-arranged from-there

μεταναστὰς καταλαμβάνει τὴν Στρούμπιτζαν κἀκεῖθεν
having-moved reaches — Stroumpitza and-from-there
αὖθις ἄχρι τοῦ Σλοπίμου. μεμαθηκὼς δὲ καὶ τὴν
again as-far-as — Slopimos having-learned and also the
Ἰωάννου τοῦ υἱοῦ τοῦ σεβαστοκράτορος ἥτταν κατὰ τῶν
of-John the son of-the sebastokrator defeat against the
Δαλματῶν προαποσταλέντος δυνάμεις ἀποχρώσας ἐκπέμπει
Dalmatians sent-ahead forces sufficient sends-out
εἰς ἀρωγήν. ὁ μὲν οὖν Βολκάνος εὐθὺς πονηρότατος ὢν
for help — indeed then Bolkanos at-once most-wicked being
ἐρωτᾷ πρὸς τὸν βασιλέα τὰ περὶ εἰρήνης καὶ τοὺς
asks to the emperor the(-things) about peace and the
ζητηθέντας ὁμήρους ἐκπέμπει. ἐκεῖνος δὲ ἐγκαρτερήσας ἐπὶ
requested hostages sends-out he and having-persevered for
ἐνιαυτὸν ἕνα καὶ μῆνας δύο, ὡς τὸν Βαϊμοῦντον ἔτι ἐν τοῖς
year one and months two since — Bohemond still in the
τῆς Λογγιβαρδίας μέρεσι διατρίβοντα ἐπεπληροφόρητο, τοῦ
— of-Lombardy parts staying he-had-been-assured the
χειμῶνος ἐπικαταλαμβάνοντος ἤδη, τοὺς στρατιώτας πρὸς
winter overtaking already the soldiers to
τὰς σφῶν οἰκίας ἐξέπεμψεν, αὐτὸς δὲ τὴν Θεσσαλονίκην
the their homes sent-off he and — Thessalonike
καταλαμβάνει. ἐν δὲ τῷ τὴν πρὸς Θεσσαλονίκην ἀνύειν
reaches in and the the(-way) to Thessalonike to-accomplish
ἐτέχθη ὁ πρωτότοκος τῶν υἱῶν τοῦ πορφυρογεννήτου καὶ
was-born the firstborn of-the sons of-the born-in-the-purple and
βασιλέως Ἰωάννου κατὰ τὴν Βαλαβίσταν συνεπαγόμενος ἐν
emperor John at — Balabista bringing-along in
τῷ τίκτεσθαι καὶ ἕτερον θῆλυ. ἐκεῖσε γοῦν τὴν μνήμην
the being-born also another female there at-any-rate the memorial
τοῦ μεγαλομάρτυρος Δημητρίου ἐκτελέσας εἰσέρχεται εἰς
of-the great-martyr Demetrios having-celebrated enters into

τὴν μεγαλόπολιν. γέγονε δὲ καί τι τοιοῦτον. περὶ τὰ
the great-city happened and also something such about the
μέσα τοῦ Κωνσταντινίου φόρου χαλκοῦς τις ἀνδριὰς
middle of-the Constantinian forum bronze a-certain statue
ἵστατο καὶ πρὸς ἀνατολὰς ἀπέστραπτο ἐπὶ πορφυροῦ
stood and toward risings was-turned on purple
κίονος περιόπτου σκῆπτρον μὲν κατέχων τῇ δεξιᾷ, τῇ
column conspicuous scepter indeed holding in-the right in-the
δὲ λαιᾷ σφαῖραν ἀπὸ χαλκοῦ κατασκευασθεῖσαν. ἐλέγετο
and left a-sphere from bronze made was-said
δ' οὖν εἶναι οὗτος Ἀπόλλωνος ἀνδριάς· Ἀνθήλιον δέ, οἶμαι,
and then to-be this of-Apollo statue Anthelios and I-think
οἱ τῆς Κωνσταντίνου οἰκήτορες αὐτὸν προσηγόρευον.
the of-the(-city) of-Constantine inhabitants it called
ὃν ὁ μέγας ἐν βασιλεῦσι Κωνσταντῖνος ἐκεῖνος καὶ
which the great among emperors Constantine that and
τῆς πόλεως καὶ πατὴρ καὶ δεσπότης εἰς τὸ ἑαυτοῦ
of-the city both father and master to the his-own
μετέθηκεν ὄνομα Κωνσταντίνου αὐτοκράτορος ἀνδριάντα
changed name of-Constantine autocrat statue
αὐτὸν προσειπών. ἐπεκράτησε δὲ ἡ ἀρχῆθεν τεθεῖσα
it having-called prevailed and the from-the-beginning given
προσηγορία τῷ ἀνδριάντι καὶ ἤτοι Ἀνήλιος ἢ Ἀνθήλιος
name to-the statue and either Anelios or Anthelios
ὑπὸ πάντων ἐλέγετο. τοῦτον τὸν ἀνδριάντα ἐξ αἰφνιδίου
by all was-called this the statue from sudden
πνεύσαντες ἄνεμοι πλατύτατοι λίβες ἐκεῖθέν τε ὦσαν
having-blown winds very-broad southwesters from-there both pushed
καὶ εἰς γῆν ἔρριψαν περὶ τὸν ταῦρον τοῦ ἡλίου τότε
and to earth hurled about the Bull of-the sun then
ὁδεύοντος. ὅπερ οὐκ ἀγαθὸς οἰωνὸς τοῖς πλείοσιν ἔδοξε
traveling which not good omen to-the most seemed

καὶ μᾶλλον, ὁπόσοι μὴ καλῶς πρὸς τὸν αὐτοκράτορα
and more as-many-as not well toward the autocrat
εἶχον· ὑπεψιθύριζον γὰρ τὸν τοῦ βασιλέως θάνατον
were-disposed whispered for the of-the emperor death
τὸ συμβὰν προμηνύειν. ὁ δὲ "ζωῆς καὶ θανάτου
the having-happened(-thing) to-foretell he and of-life and of-death
ἕνα κύριον ἐπίσταμαι," ἔλεγε "πτώσεις δὲ εἰδώλων
one Lord I-know said falls and of-idols
θάνατον ἐπάγειν οὐδ' ὅλως πιστεύειν ἔχω. ὁπηνίκα
death to-bring not-even at-all to-believe I-am-able when
γὰρ Φειδίας τις, φέρε εἰπεῖν, ἤ τις τῶν λιθοξόων
for Pheidias some come to-say or someone of-the stone-carvers
λίθον ἀποξέσας εἴδωλον ἀπεργάσοιτο, ἀναστήσει μὲν καὶ
stone having-carved idol should-produce he-will-raise indeed even
νεκρούς, παράξει δὲ καὶ ἔμψυχα; καὶ εἰ ταῦτα, τῷ
dead he-will-bring-forth and also living(-things) and if these(-things) to-the
τῶν ἁπάντων δημιουργῷ τί καταλειφθήσεται; ἀποκτενῶ
of-the all fashioner what will-be-left I-will-kill
γὰρ καὶ ζῆν ἐγὼ ποιήσω φησὶ καὶ οὐχὶ τοῦδε ἢ τοῦδε
for and to-live I will-make he-says and not of-this or of-that
εἰδώλου πτῶσις ἢ ἀνέγερσις." καὶ γὰρ τὰ πάντα τῇ
idol fall or raising and for the all(-things) to-the
μεγίστῃ τοῦ Θεοῦ ἀνετίθει προνοίᾳ.
greatest — of-God he-ascribed providence

XVII · THE ANEMAS CONSPIRACY

Though Alexios rules gently and seeks peace, plots spring up as the Fortune of the empire brings dangers from every side. The four Anemas brothers plot to kill him and seize the throne, joined by the Antiochoi, the Exazenoi Doukas and Hyaleas, Kastamonites, Kourtikios, and George Basilakios. They promise the senator John Solomon, rich, small, and vain of his philosophy, the crown, meaning to discard him, and say nothing to him of murder. Solomon, in his simplicity, tells Michael Anemas that he is recruiting others.

Κυκεὼν δὲ κατὰ τοῦ αὐτοκράτορος ἄλλος αὖθις κακῶν
a-medley and against the autocrat another again of-evils
ἐξεγήγερτο, ὃς οὐχ ὑπὸ τῶν τυχόντων ἐξηρτύετο ἤδη.
had-been-roused which not by the chance(-men) was-being-prepared now
ἄνδρες γάρ τινες ἐπ᾽ ἀνδρείᾳ καὶ γένους εὐκλείᾳ μεγάλα
men for some for courage and of-family glory great
αὐχοῦντες κατὰ τοῦ βασιλικοῦ ἐμελέτησαν σώματος φόνιον
boasting against the imperial plotted body murder
πνέοντες. καὶ θαυμάζω ἐνταῦθα τῆς ἱστορίας γεγονυῖα,
breathing and I-marvel here of-the history having-come
πόθεν τοσοῦτον πλῆθος κακῶν τὸν βασιλέα περιεστοίχισεν.
whence so-great multitude of-evils the emperor encircled
οὐδὲν γάρ, οὐδὲν ἦν οὐδ᾽ ὁποθενοῦν, ὃ μὴ κατ᾽ αὐτοῦ
nothing for nothing was nor from-anywhere which not against him
ἐκεκίνητο. τά τε γὰρ ἔνδον ἀποστασίας ἦσαν μεστὰ
had-been-stirred the both for within(-things) of-rebellion were full
καὶ τὰ ἔξωθεν ἐπαναστάσεως ἔγεμε. καὶ μήπω πρὸς τὰ
and the outside(-things) of-uprising teemed and not-yet against the
ἔνδον τοῦ αὐτοκράτορος ἀντικαταστάντος τἀκτὸς
within(-things) the autocrat having-stood-against the-outside(-things)
πάντα περιεφλέγμαινε, βαρβάρους ἅμα καὶ τοὺς
all were-inflamed barbarians at-the-same-time and the

ἔνδον τυράννους τῆς Τύχης αὐτῆς ὥσπερ τινὰς Γίγαντας
within usurpers — Fortune herself like some Giants
αὐτοφυεῖς ἀναβλαστανούσης, καίτοι τοῦ βασιλέως ἅπαντα
self-grown sprouting-up although the emperor all(-things)
πρὸς τὸ ἡμερώτερον καὶ φιλανθρωπότερον ἐπιτροπεύοντος
toward the more-gentle and more-humane governing
καὶ διοικονομουμένου τὰ πράγματα καὶ οὐκ ἔστιν ὅντινα
and managing the affairs and not there-is anyone
μὴ τοῖς ἀγαθοῖς κατακλύζοντος. τοὺς μὲν γὰρ καὶ
not with-the goods deluging the(-men) indeed for both
ἀξιωμάτων τιμαῖς κατεκύδαινε καὶ δωρεαῖς μεγάλαις
of-dignities with-honors he-glorified and with-gifts great
καταπλουτίζων ἀεὶ οὐκ ἀνῆκε· τοὺς δὲ ὁπουδήποτε
enriching always not ceased the and anywhere
βαρβάρους, ἀφορμὰς μὴ διδοὺς πολέμων μηδ' ἀνάγκην
barbarians occasions not giving of-wars nor necessity
ἐπάγων αὐτός, ἀνασοβοῦντας ὅμως ἀνέστελλεν, ὡς ἔστι
bringing-on he stirring-up nevertheless he-checked as it-is
κακῶν στρατηγῶν, τῶν πραγμάτων ἡσυχαζόντων αὐτοὺς
of-bad generals the affairs being-quiet them
ἐξεπίτηδες ἀνερεθίζειν τοὺς πέριξ εἰς πόλεμον. εἰρήνη
on-purpose to-provoke the(-men) around to war peace
μὲν γὰρ τέλος ἐστὶ πολέμου παντός, τὸ δ' ἀνθελέσθαι
indeed for end is of-war every the and to-choose-instead
ἀεὶ αὐτόθεν τὸ ἕνεκά του *** καὶ τοῦ ἀγαθοῦ
always thence the for-the-sake of-something (lacuna) and the good
τέλους ἀεὶ ἀμελεῖν, τοῦτο ἀνοήτων ἐστὶ στρατηγῶν καὶ
end always to-neglect this of-senseless is generals and
δημαγωγῶν καὶ ὄλεθρον πραγματευομένων τῆς πόλεως.
demagogues and ruin bringing-about of-the city
ἀλλ' ὁ βασιλεὺς Ἀλέξιος τοὐναντίον ἅπαν ἐποίει καὶ
but the emperor Alexios the-opposite all did and

τοῦ εἰρηνεύειν ἐκτόπως ἐπεμελεῖτο καὶ *** παροῦσαν
the to-keep-peace exceedingly cared-for and (lacuna) present
ἀεὶ πανταχόθεν συνεῖχε καὶ ἀπούσης ἐπηγρύπνει
always from-everywhere held-together and absent watched
πολλάκις, ὅπως ἐπανέλθοι. καὶ ἦν ὁ αὐτὸς κατὰ
often how it-might-return and was the same by
φύσιν μὲν εἰρηνικός, ἀναγκαζόντων δὲ τῶν πραγμάτων
nature indeed peaceful compelling and the affairs
πολεμικώτατος. καὶ ἔγωγ' ἂν φαίην θαρρούντως περὶ
most-warlike and I-for-my-part — would-say confidently about
τοῦ ἀνδρὸς ἐκείνου, ὡς ἄρα τοῦ βασιλικοῦ χαρακτῆρος
the man that that after-all the imperial character
πολλοῦ χρόνου καταλελοιπότος τὰ τῶν Ῥωμαίων βασίλεια,
much time having-left the of-the Romans palace
ἐπ' αὐτοῦ καὶ μόνου ἐπανεληλυθέναι τρόπον τινὰ τότε
in him and alone to-have-returned in-a-manner some then
πρώτως τῇ Ῥωμαίων ἡγεμονίᾳ ἐπιξενουμένου. ἀλλ' ὅπερ
first to-the of-Romans dominion being-a-stranger but what
ἔλεγον τοῦ λόγου ἀρχομένη, ὅτι θαυμάζειν ἔχω τὴν
I-was-saying of-the account beginning that to-marvel I-can the
τοσαύτην τῶν πραγμάτων τῶν πολεμικῶν ἐπίχυσιν· τά
so-great of-the affairs the warlike flood the
τε γὰρ ἔξω καὶ τἄνδον πάντα ἦν ἰδεῖν
both for outside(-things) and the-inside(-things) all it-was-possible to-see
κυμαινόμενα πανταχόθεν. ἀλλ' ὅ γε βασιλεὺς Ἀλέξιος
surging from-everywhere but the at-least emperor Alexios
καὶ τὰ ἀφανῆ τῶν ἐχθρῶν καὶ κρύφια καὶ προῃσθάνετό
also the unseen(-things) of-the enemies and hidden also perceived-beforehand
τε καὶ παντοδαποῖς μηχανήμασι πόρρω τὰς βλάβας
both and with-all-kinds-of devices far the harms
ἀπήλαυνε καὶ πρὸς τοὺς ἔνδοθεν τυράννους καὶ πρὸς
drove-off and against the within usurpers and against

τοὺς ἔξωθεν βαρβάρους ἀνταγωνιζόμενος ἀεὶ προφθάνων
the outside barbarians contending always anticipating
ὀξύτητι νοῦ τὰς τῶν ἐπιβουλευόντων ἐπιβουλὰς καὶ
with-sharpness of-mind the of-the plotters plots and
ἀνακόπτων τὰς τούτων ὁρμάς. καὶ ἔγωγε στοχάζομαι
cutting-off the their impulses and I-for-my-part conjecture
ἀπὸ τῶν πραγμάτων αὐτῶν τὴν Τύχην τῆς βασιλείας, ὅτι
from the affairs themselves the Fortune of-the empire that
πανταχόθεν συνέρρευσε τὰ δεινὰ καὶ ἐτετάρακτο αὐτό τε
from-everywhere flowed-together the dangers and had-been-troubled itself both
τὸ σῶμα τῆς πολιτείας καὶ πᾶν ἀλλότριον ἐμεμήνει κατὰ
the body of-the state and all foreign raged against
τῆς βασιλείας Ῥωμαίων, ὡς εἴ τις οὕτως ἔχοι κακῶς,
the empire of-Romans as if someone thus should-be badly
ὥστε καὶ ὑπὸ τῶν ἀλλοδαπῶν πολεμεῖσθαι καὶ ὑπὸ τῶν
so-that both by the foreign(-men) to-be-warred-on and by the
οἰκείων κατατρύχεσθαι τὰς σάρκας διαμασσώμενον, τοῦτον
own(-men) to-be-consumed the flesh chewing this(-one)
δὲ ἀνεγεῖραι τὴν πρόνοιαν, ἵνα πρὸς τὰ πανταχόθεν κακὰ
and to-rouse the providence that against the from-everywhere evils
ἀντιμηχανῷτο, ὥσπερ δὴ καὶ τὸ τηνικαῦτα συνιδεῖν
it-might-contrive as indeed also the then to-perceive
ἔδει. ὅ τε γὰρ Βαϊμοῦντος ὁ βάρβαρος ὁ πολλάκις
it-was-needful — both for Bohemond the barbarian the often
ἡμῖν εἰρημένος ἐξηρτύετο κατὰ τῶν σκήπτρων Ῥωμαίων
by-us mentioned was-preparing against the scepters of-Romans
βαρύτατον στράτευμα ἐπαγόμενος καὶ τὸ τυραννικὸν
very-heavy army bringing and the usurping
τοῦτο πλῆθος ἑτέρωθεν ἀντεπηγείρετο, καθάπερ ἄνωθεν
this multitude from-elsewhere was-roused-against as above
τοῦ λόγου πεπροοιμίασται. τέσσαρες μὲν ἦσαν οἱ
the account has-been-prefaced four indeed were the(-men)

ξύμπαντες οἱ τῆς βουλῆς καταρχόμενοι, Ἀνεμάδες τὴν
all-together the of-the plot leading Anemades the
ἐπωνυμίαν, τὰς κλήσεις ὁ μὲν Μιχαήλ, ὁ δὲ
surname the names the(-one) indeed Michael the(-other) and
Λέων, ὁ ἕτερος ***, ὁ ἄλλος *** προσηγορεύετο.
Leo the other (lacuna) the other (lacuna) was-called
ἀδελφοὶ δ' ἦσαν καὶ τὰ σώματα πρότερον καὶ τότε
brothers and they-were both the bodies before and then
τὴν γνώμην· εἰς ταὐτὸ γὰρ ἅπαντες συνεφρόνησαν,
the mind to the-same for all agreed
ἀποκτεῖναί τε τὸν αὐτοκράτορα καὶ τῶν βασιλικῶν
to-kill both the autocrat and the imperial
ἐπιλήψεσθαι σκήπτρων. συνυπήγοντο δὲ αὐτοῖς καὶ ἕτεροι
to-seize scepters were-drawn-in and with-them also others
τῶν εὐγενῶν, οἵ τε Ἀντίοχοι γένους ὄντες περιφανοῦς καὶ
of-the nobles the both Antiochoi of-family being illustrious and
οἱ Ἐξαζηνοὶ καλούμενοι, ὅ τε Δούκας καὶ ὁ Ὑαλέας,
the Exazenoi called — both Doukas and — Hyaleas
ἄνδρες ἐκθυμότατοι τῶν πώποτε γεγενημένων πρὸς μάχας,
men most-spirited of-the ever having-been for battles
πρὸς δὲ καὶ Νικήτας ὁ Καστα μονίτης καὶ Κουρτίκιός
besides and also Niketas the Kastamonites and Kourtikios
τις καὶ ὁ Βασιλάκιος Γεώργιος. οὗτοι μὲν οὖν
a-certain and — Basilakios George these indeed then
ἦσαν τοῦ στρατιωτικοῦ καταλόγου πρωτεύοντες, τῆς δέ
were of-the military roll foremost of-the and
γε συγκλήτου ὁ Σολομῶν Ἰωάννης. ὃν διὰ πλούτου
at-least senate — Solomon John whom for wealth
περιουσίαν καὶ γένους λαμπρότητα βασιλέα χρίσειν ὁ
abundance and of-family brilliance emperor to-anoint —
Μιχαὴλ ὁ καὶ κορυφαῖος τῆς τετρακτύος τῶν Ἀνεμάδων
Michael the also leader of-the foursome of-the Anemades

σχηματιζόμενος ἐπηγγέλλετο. ὁ δὲ Σολομὼν οὗτος τῆς
pretending promised — and Solomon this of-the
συγκλήτου λογάδος τὰ πρῶτα φέρων οὐ μόνον τῶν
senate elite the first(-place) holding not only of-the
ἄλλων, ἀλλὰ καὶ τῶν συνεξηπατημένων αὐτῷ βραχύτατος
others but also of-the deceived-with him very-short
μὲν ἦν τὴν ἡλικίαν, κουφότατος δὲ τὴν γνώμην.
indeed he-was the stature very-light and the mind
Ἀριστοτελικῶν τε καὶ Πλατωνικῶν μαθημάτων ᾤετο εἰς
of-Aristotelian both and Platonic learning he-supposed to
ἄκρον ἐληλυθέναι· οὐ μὴν εὖ ἦκε τῆς φιλοσόφου εἰδήσεως,
top to-have-come not indeed well he-had of-the philosophical knowledge
ἀλλ' ὅμως ἐτετύφωτο διὰ περιουσίαν κουφότητος.
but nevertheless he-was-puffed-up through abundance of-lightness
λοιπὸν πρὸς τὴν βασιλείαν ὅλοις ἱστίοις ἀπένευε καθάπερ
finally to the empire with-whole sails inclined as-if
ὑπὸ τούτων τῶν Ἀνεμάδων ἐμπνεόμενος. ἀλλ' ἦσαν ἄρα
by these the Anemades being-blown-on but they-were after-all
τὰ πάντα πλάνοι. οὐ γὰρ εἶχον ἐν νῷ τοῦτον οἱ
the all deceivers not for they-had in mind him the(-men)
ἀμφὶ τὸν Μιχαὴλ ἐς τὸν βασιλικὸν θρόνον ἀναγαγεῖν,
about — Michael to the imperial throne to-raise
πολλοῦ γε καὶ δεῖ, ἀλλὰ τῇ κουφότητι τοῦ ἀνδρὸς
far at-least and is-wanting but the lightness of-the man
καὶ τῷ πλούτῳ πρὸς τὴν ἰδίαν ἐπιχείρησιν ἀπεχρῶντο.
and the wealth for the own attempt they-used
ἀεί τι ἐκεῖθεν τοῦ χρυσοῦ ῥεύματος ἐπισπῶντες
always something from-there of-the gold stream drawing-off
καὶ ταῖς ἐλπίσι τῆς βασιλείας ποιοῦντες ὑπότυφον ὅλον
and with-the hopes of-the empire making smoldering whole
ἑαυτοῖς τιθασσὸν ἐποιήσαντο γνώμης τοιαύτης ἔχοντες,
for-themselves tame they-made of-mind such having

ὡς εἰ εὔοδα πράξαιεν καὶ ἡ Τύχη αὐτοῖς εὐνούστερόν
that if successfully they-should-fare and — Fortune on-them more-kindly
πως ἐνατενίσειε, τὸν μὲν παραγκωνίσαιντο ἀφέντες
somehow should-gaze him indeed they-would-elbow-aside having-left
ψαίρειν ἐπὶ πελάγους, αὐτοὶ δὲ τῶν σκήπτρων ἀνθέξοιντο
to-flutter on open-sea they and to-the scepters would-hold-fast
μικράν τινα δόξαν καὶ εὐετηρίαν αὐτῷ ἀπονείμαντες.
small some glory and prosperity to-him having-assigned
οἱ μέντοι γε πρὸς ἐκεῖνον λόγοι τῆς ἐπιβουλῆς οὐ
the however at-least to him words of-the plot not
φόνον τοῦ αὐτοκράτορος ἐπηγγέλλοντο οὐδὲ ξιφουλκίας
murder of-the autocrat announced nor sword-drawing
ἐμέμνηντο, οὐ μάχης οὐδὲ πολέμων, ἵνα μὴ καταπτοήσαιεν
mentioned not battle nor wars that not they-might-frighten
τὸν ἄνδρα πάλαι τοῦτον εἰδότες πρὸς ἅπαν εἶδος πολέμου
the man long-ago this knowing toward every form of-war
δειλότατον. τοῦτον τοίνυν τὸν Σολομῶντα ὥσπερ δὴ
most-cowardly him therefore — Solomon as indeed
κορυφαιότατον τῶν ἄλλων ἐνηγκαλίσαντο. συνυπήχθησαν
most-chief of-the others they-embraced were-drawn-in
δὲ τῇ τούτων βουλῇ καὶ ὁ Σκληρὸς καὶ ὁ τὴν
and to-the their plot also — Skleros and the the
ἐπαρχίαν τῆς Κωνσταντίνου τῷ τότε διηνυκὼς Ξηρός.
prefecture of-the(-city) of-Constantine at-the then having-held Xeros
ὁ μέντοι Σολομῶν κουφοτέρας ὢν γνώμης, καθάπερ
— however Solomon of-lighter being mind as
ἄνωθεν εἴρηται, καὶ μηδὲν τῶν παρὰ τοῦ Ἐξαζηνοῦ καὶ
above has-been-said also nothing of-the by — Exazenos and
τοῦ Ὑαλέα καὶ αὐτῶν δὴ τῶν Ἀνεμάδων μελετωμένων
— Hyaleas and themselves indeed the Anemades being-plotted
συνεὶς ἐν χερσὶν ἤδη τὴν βασιλείαν Ῥωμαίων κατέχειν
understanding in hands already the empire of-Romans to-hold

οἰόμενος προσωμίλει τισὶ καὶ ὑπεποιεῖτο ὑποσχέσεσι
thinking conversed with-some and won-over with-promises
δωρεῶν καὶ ἀξιωμάτων τούτους ὑπαγόμενος. φοιτήσας δέ
of-gifts and dignities them drawing-in having-come and
ποτε πρὸς αὐτὸν ὁ τοῦ δράματος κορυφαῖος Μιχαὴλ ὁ
once to him the of-the drama leader Michael the
Ἀνεμᾶς καὶ θεασάμενος ὁμιλοῦντά τινι ἐπυνθάνετο, τί
Anemas and having-beheld conversing with-someone inquired what
ἂν εἴη τὸ λεγόμενον. ὁ δὲ Σολομῶν μετὰ τῆς συνήθους
— might-be the being-said(-thing) — and Solomon with the customary
ἁπλότητός φησιν ὡς "ἀξίωμα αἰτήσας ἡμᾶς καὶ λαβὼν
simplicity says that a-dignity having-asked us and having-received
τὴν ὑπόσχεσιν συνέθετο κοινωνὸς ἡμῖν τῆς βουλῆς τῶν
the promise agreed partner to-us of-the plot of-the
πάντων ἔσεσθαι". ὁ δὲ μωρίαν τούτου καταψηφισάμενος
all to-be he and folly his having-condemned
καὶ περίφοβος γεγονώς, ὡς μηδ' ὅλως ἐχεμυθεῖν πεφυκότα
and terrified having-become as not-even at-all to-keep-silent being-wont
διαγνούς, οὐκέθ' ὡς τὸ πρότερον πρὸς αὐτὸν ἐφοίτα.
having-discerned no-longer as the before to him went

The plotters mean to come through the shrine and break into the bedchamber while Alexios plays chess after his afternoon sleep, but God reveals the plot. Isaac threatens Solomon, who confesses. The conspirators are banished and their goods taken, and Eirene gives Solomon's house to his wife. Anemas and his chief companions, shorn and crowned with entrails, are paraded on oxen to be blinded. Anna, moved by Michael's pleading gestures, begs her mother, who begs Alexios, and the pardon overtakes him before the bronze hands; he is shut in the tower by the palace.

Οἱ μὲν οὖν στρατιῶται, τοὺς Ἀνεμάδας φημὶ καὶ
the indeed then soldiers the Anemades I-mean and
Ἀντιόχους καὶ τοὺς τούτων συνωμότας, κατὰ τοῦ
Antiochoi and the their fellow-conspirators against the
βασιλικοῦ τὴν σκαιωρίαν ἐποιοῦντο σώματος, ἵν', ὁπηνίκα
imperial the mischief made body that when
καιροῦ εὐθέτου τύχοιεν, παρευθὺ τὸν μελετώμενον
of-occasion fitting they-should-obtain immediately the planned
κατὰ τοῦ αὐτοκράτορος φόνον εἰς ἔργον προάξωσιν. ὡς
against the autocrat murder into deed they-might-bring when
δὲ παρὰ τῆς προνοίας ἄδεια οὐδεμία τούτοις ἐδίδοτο
and from the providence leave no to-them was-given
καὶ ὁ καιρὸς παρερρύετο, πτοηθέντες μὴ κατάφωροι
and the occasion slipped-by having-been-frightened lest detected
γένωνται, ὃν ἐπεζήτουν καιρὸν ἔδοξαν εὑρηκέναι. ἐπεὶ
they-become which they-sought occasion they-thought to-have-found since
γὰρ ὁ αὐτοκράτωρ μετὰ τὸ διυπνισθῆναι κατὰ δείλην
for the autocrat after the having-been-awakened in afternoon
ἑῴαν τὴν ἐκ τῶν πολλῶν φροντίδων ἐγγινομένην ἅλμην
early the from the many cares arising bitterness
καταγλυκαίνειν ἐθέλων ἐνίοτε συμπαίστορας εἶχε τῶν
to-sweeten wishing sometimes playmates had of-the

συγγενέων τινὰς παίζων τὸ ζατρίκιον (παιδιὰ δὲ τοῦτο
kinsmen some playing the chess game and this
ἐκ τῆς τῶν Ἀσσυρίων τρυφῆς ἐξευρημένον καὶ εἰς ἡμᾶς
from the of-the Assyrians luxury invented and to us
ἐκεῖθεν ἐληλυθός), οἱ τὴν τυραννικὴν ἐξοπλίσαντες
from-there having-come the(-men) the usurping having-armed
χεῖρα διὰ τοῦ βασιλικοῦ κοιτωνίσκου ἔμελλον ὡς εἰς
hand through the imperial little-bedchamber were-about as to
τὸν βασιλέα χωρῆσαι τὸν φόνον ὠδίνοντες. ὁ δέ τοι
the emperor to-advance the murder being-in-labor-with the and surely
βασιλικὸς κοιτωνίσκος οὗτος, οὗπερ οἱ βασιλεῖς ἔτυχον
imperial little-bedchamber this where the emperors happened
εὐναζόμενοι, κατὰ τὴν εὐώνυμον κεῖται πλευρὰν τοῦ ἐπ᾽
lying-down on the left lies side of-the in
ὀνόματι τῆς Θεομήτορος ἀνεγηγερμένου τεμένους κατὰ
name of-the Mother-of-God raised shrine in
τὰ ἀνάκτορα, κἂν οἱ πολλοὶ τὸ τοῦ μεγαλομάρτυρος
the palace even-if the many the of-the great-martyr
Δημητρίου ὄνομα ταύτῃ ἐπέγραφον. κατὰ δὲ τὴν δεξιὰν
Demetrios name to-it inscribed on and the right
αἴθριον ἔδαφος ἦν ὑπὸ μαρμάρων κατεστρωμένον. καὶ ἡ
open-air floor was with marbles paved and the
πρὸς τοῦτο ἐξάγουσα πύλη τοῦ τεμένους ἄνετος πᾶσι τοῖς
to it leading-out gate of-the shrine open to-all the
ἐθέλουσιν ἦν. ἐκεῖθεν οὖν ἐσκέψαντο εἰσελθεῖν εἴσω τοῦ
wishing was from-there then they-planned to-enter within the
τεμένους καὶ τὰς τὸν βασιλικὸν κοιτωνίσκον ἀποκλειούσας
shrine and the the imperial little-bedchamber shutting
κατεάξαι πύλας κἆθ᾽ οὕτως εἰσελθόντες ἀνελεῖν διὰ
to-break gates and-then thus having-entered to-kill with
ξίφους τὸν αὐτοκράτορα. ἀλλὰ ταῦτα μὲν οἱ μιαιφόνοι
sword the autocrat but these(-things) indeed the bloodstained

ἐκεῖνοι ἄνδρες κατὰ τοῦ μηδὲν ἠδικηκότος διεσκοποῦντο·
those men against the(-one) nothing having-wronged were-planning
ἔσφηλε δὲ τὴν τούτων βουλὴν ὁ Θεός. δηλωθέντος δὲ
foiled and the their plot — God having-been-revealed and
τοῦ δράματος διά τινος τῷ αὐτοκράτορι παραχρῆμα
the drama through someone to-the autocrat immediately
μετεπέμποντο ἅπαντες. πρῶτον μὲν οὖν Ἰωάννην τὸν
were-summoned all first indeed then John the
Σολομῶντα καὶ Γεώργιον τὸν Βασιλάκιον εἰς τὰ ἀνάκτορα
Solomon and George the Basilakios into the palace
εἰσαχθῆναι ὁ βασιλεὺς ἐπέτρεψεν ἐγγυτέρω γενομένους
to-be-brought the emperor permitted nearer having-come
τοῦ οἰκίσκου, ἐν ᾧπερ αὐτὸς ἐτύγχανεν ὢν μετὰ τῆς
to-the little-house in which he happened being with the
περὶ αὐτὸν συγγενείας, ἵνα διά τινων ἐξερωτῴη αὐτούς,
around him kin that through some he-might-question them
ἁπλουστέρου φρονήματος τούτους πάλαι γινώσκων κἀκ
simpler of-mind them long-ago knowing and-from
τούτου ῥᾳδίως τὰ βεβουλευμένα μεμαθηκέναι οἰόμενος.
this easily the planned(-things) to-have-learned thinking
ὡς δὲ πολλάκις ἐρωτώμενοι ἔξαρνοι ἦσαν, ἔξεισιν
when and often being-questioned denying they-were goes-out
ὁ σεβαστοκράτωρ Ἰσαάκιος καὶ πρὸς τὸν Σολομῶντα
the sebastokrator Isaac and to — Solomon
ἀπονεύσας ἔφη "οἶσθα πάντως, Σολομών, τὴν τοῦ ἐμοῦ
having-turned he-said you-know surely Solomon the of-the my
ἀδελφοῦ καὶ βασιλέως ἀγαθότητα. εἰ μὲν τὰ βεβουλευμένα
brother and emperor goodness if indeed the planned(-things)
πάντα ἀπαγγείλῃς, συμπαθείας παραχρῆμα ἀξιωθήσῃ,
all you-report of-pardon immediately you-will-be-deemed-worthy
εἰ δ' οὖν, ἀνηκέστοις βασάνοις παραδοθήσῃ". ὁ δὲ
if but then to-incurable tortures you-will-be-handed-over he and

ἐνατενίσας καὶ τοὺς περικυκλοῦντας τὸν σεβαστοκράτορα
having-gazed and the surrounding the sebastokrator
βαρβάρους θεασάμενος ἐπὶ τῶν ὤμων τὰ ἑτερόστομα
barbarians having-beheld on the shoulders the single-edged
ξίφη κραδαίνοντας ἔντρομος γεγονὼς παραχρῆμα ἅπαντα
swords brandishing trembling having-become immediately all
ἀπαγγέλλει τούς τε συνίστορας ὁμολογήσας, μηδὲν δὲ
reports the both accomplices having-confessed nothing and
περὶ τοῦ φόνου εἰδέναι διισχυριζόμενος. εἶτα παραδοθέντες
about the murder to-know maintaining then handed-over
τοῖς τὴν φυλακὴν τούτων ἐμπεπιστευμένοις καὶ
to-the(-men) the guard of-them entrusted and
διαιρεθέντες ἔμφρουροι γεγόνασι. τοὺς δέ γε λοιποὺς
separated in-prison have-become the and at-least rest
αὖθις ἠρώτων περὶ τοῦ δράματος. ὁμολογήσαντες δὲ
again they-questioned about the drama having-confessed and
ἅπαντα καὶ μηδὲ τὸν φόνον ἐπικρύψαντες ἐπεὶ οἱ
all and not-even the murder having-concealed since the
στρατιῶται τοῦτον μεμελετηκέναι ἐγνώσθησαν καὶ μᾶλλον
soldiers it to-have-planned were-known and more
ὁ Ἀνεμᾶς Μιχαήλ, ὁ καὶ τῆς βουλῆς κορυφαῖος, ὁ
— Anemas Michael the also of-the plot leader the
καὶ κατὰ τοῦ αὐτοκράτορος φόνιον πνέων, ἅπαντας
also against the autocrat murder breathing all
περιορίσας καὶ τὰς σφῶν ἐδήμευσε περιουσίας. ὁ μέντοι
having-banished also the their confiscated estates the however
οἶκος τοῦ Σολομῶντος περιφανὴς ὢν ἐδόθη πρὸς τὴν
house — of-Solomon magnificent being was-given to the
Αὔγουσταν. ἐκείνη δέ, ὁποία περὶ τὰ τοιαῦτα, οἶκτον
Augusta she and as-she-was about the such(-things) pity
λαβοῦσα τῆς τοῦ Σολομῶντος ὁμευνέτιδος ἀπεχαρίσατο
having-taken of-the — of-Solomon wife bestowed

τοῦτον αὐτῇ μηδὲ τὸ τυχὸν ἐκεῖθεν ἀφελομένη. τὸν
it on-her not-even the chance(-thing) from-there having-taken-away —
μέντοι Σολομῶντα ἔμφρουρον εἶχεν ἡ Σῳζόπολις. τὸν δὲ
however Solomon in-prison had — Sozopolis — and
Ἀνεμᾶν καὶ τοὺς σὺν αὐτῷ ὡς πρωταιτίους καὶ τὴν
Anemas and the(-men) with him as chief-culprits both the
ἐν χρῷ κουρὰν τῆς κεφαλῆς καὶ τοῦ πώγωνος ψιλώσας
in skin shearing of-the head and the beard having-stripped
διὰ μέσης πομπεῦσαι τῆς ἀγορᾶς παρεκελεύσατο,
through middle to-parade of-the market-place ordered
εἶτα ἐξορυχθῆναι τοὺς ὀφθαλμούς. παραλαβόντες οὖν
then to-be-dug-out the eyes having-taken then
τούτους οἱ σκηνικοὶ καὶ σάκκους περιβαλόντες, τὰς δὲ
them the stage-men and sackcloth having-thrown-around the and
κεφαλὰς ἐντοσθίοις βοῶν καὶ προβάτων ταινίας δίκην
heads with-entrails of-oxen and sheep of-a-fillet in-the-manner
κοσμήσαντες ἐν βουσὶν ἀναγαγόντες καὶ ἐγκαθίσαντες οὐ
having-adorned on oxen having-led-up and having-seated not
περιβάδην ἀλλὰ κατὰ θατέραν πλευρὰν τούτους διὰ
astride but on the-other side them through
τῆς βασιλικῆς ἦγον αὐλίδος. ῥαβδοῦχοι ἔμπροσθεν τούτων
the imperial court they-led rod-bearers before them
ἐφαλλόμενοι καὶ ᾄσμάτιόν τι γελοῖον καὶ κατάλληλον
leaping and ditty some laughable and fitting
τῇ πομπῇ προσᾴδοντες ἀνεβόων, λέξει μὲν ἰδιώτιδι
to-the procession singing-to cried-out in-diction indeed common
διηρμοσμένον, νοῦν δὲ ἔχον τοιοῦτον. ἐβούλετο γὰρ τὸ
composed sense and having such wished for the
ᾆσμα πάνδημον πᾶσι παρακελεύεσθαι *** τε καὶ ἰδεῖν
song popular all to-summon (lacuna) both and to-see
τοὺς τετυραννευκότας τούτους κερασφόρους ἄνδρας, οἵτινες
the having-played-the-tyrant these horned men who

τὰ ξίφη κατὰ τοῦ αὐτοκράτορος ἔθηξαν. ἅπασα μὲν
the swords against the autocrat whetted all indeed
οὖν ἡλικία εἰς τὴν τοιαύτην θέαν συνέτρεχεν, ὡς καὶ
then age to the such spectacle ran-together so-that even
ἡμᾶς, τὰς τοῦ βασιλέως θυγατέρας, ἐξελθούσας λαθραίαν
us the of-the emperor daughters having-come-out secret
τὴν θέαν ποιεῖσθαι. ὡς δὲ τὸν Μιχαὴλ ὡς πρὸς τὰ
the viewing to-make when and — Michael as toward the
ἀνάκτορα ἐθεάσαντο ἐνατενίζοντα καὶ χεῖρας ἱκέτιδας ἐς
palace they-saw gazing and hands suppliant to
οὐρανὸν αἴροντα αἰτούμενον ἐν σχήματι χεῖρας ἐξ ὤμων
heaven raising asking by sign hands from shoulders
ἀφαιρεθῆναι καὶ πόδας ἐκ γλουτῶν αὐτῶν καὶ κεφαλὴν
to-be-taken-off and feet from buttocks very and head
αὐτὴν ἀποτμηθῆναι, ἅπασα φύσις πρὸς δάκρυον καὶ
itself to-be-cut-off all nature to tears and
οἰμωγὰς κεκίνηται καὶ μᾶλλον ἡμεῖς, αἱ τοῦ βασιλέως
wailings was-moved and more we the of-the emperor
θυγατέρες. ἐγὼ δὲ βουλομένη τὸν ἄνδρα τοῦ τοιούτου
daughters I and wishing the man from-the such
ῥύσασθαι κακοῦ τὴν βασιλίδα καὶ μητέρα ἅπαξ καὶ δὶς
to-rescue ill the empress and mother once and twice
προὐκαλούμην ἐς θέαν τῶν πομπευομένων. ἐκηδόμεθα
called-out to sight of-the(-men) being-paraded we-cared
γὰρ τῶν ἀνδρῶν τοῦ αὐτοκράτορος χάριν, εἰρήσεται γὰρ
for for-the men of-the autocrat for-the-sake will-be-said for
τἀληθές, μὴ τοιούτων ἀποστεροῖτο στρατιωτῶν καὶ μᾶλλον
the-truth lest such he-be-deprived-of soldiers and more
τοῦ Μιχαήλ, ὅσῳ καὶ βαρυτέρα ἡ κατ' αὐτοῦ ψῆφος
— of-Michael by-as-much-as also heavier the against him sentence
ἐξενήνεκτο. ὁρῶσα, ὁπόσον αὐτὸν ἐξεταπείνου ἡ ξυμφορά,
had-been-passed seeing how-much him humbled the misfortune

ὅπερ οὖν ἔλεγον, ἐξεβιαζόμην τὴν μητέρα τὴν ἐμαυτῆς,
what then I-was-saying I-pressed the mother the my-own
εἴ πως τοῦ κινδύνου ῥυσθεῖεν οἱ ἄνδρες ἤδη τούτοις
if somehow from-the danger might-be-rescued the men already them
ἐγγύθεν ἐφεστηκότος. σχολαιοτέραν γὰρ τὴν πορείαν οἱ
nearby standing-over more-leisurely for the procession the
σκηνικοὶ ἐποιοῦντο χώραν πραγματευόμενοι συμπαθείας
stage-men made room providing of-pardon
τοῖς μιαιφόνοις. ὡς δ' ἐκείνη ἀπώκνει τὴν ἔλευσιν
to-the bloodstained when and she shrank-from the coming
(καθῆστο γὰρ μετὰ τοῦ αὐτοκράτορος, οὗ τὰς πρὸς
she-sat for with the autocrat where the to
Θεὸν ἐντεύξεις κοινῇ ἐποιοῦντο ἐνώπιον τῆς θεομήτορος),
God petitions in-common they-made before the mother-of-God
κατελθοῦσα καὶ ἔξω τῶν πυλῶν περίφοβος ἑστηκυῖα,
having-come-down and outside the gates terrified standing
ἐπεὶ μὴ ἀπεθάρρουν τὴν εἴσοδον, νεύμασι τὴν βασίλισσαν
since not I-dared the entrance by-nods the empress
προὐκαλούμην. καὶ δὴ πεισθεῖσα εἰς τὴν θέαν ἀνέρχεται
I-called-out and indeed persuaded to the sight goes-up
καὶ θεασαμένη τὸν Μιχαὴλ ᾤκτειρέ τε καὶ δάκρυον
and having-seen — Michael pitied both and tear
ἐπαφεῖσα τούτῳ θερμὸν ἐπανατρέχει πρὸς τὸν αὐτοκράτορα
having-let-fall on-him hot runs-back to the autocrat
ἅπαξ καὶ δὶς καὶ πολλάκις ἐξαιτουμένη χαρίσασθαι τῷ
once and twice and often begging to-grant —
Μιχαὴλ τοὺς ὀφθαλμούς. καὶ παραχρῆμα πέμπεται ὁ
to-Michael the eyes and immediately is-sent the(-one)
τοὺς δημίους ἀπείρξων· καὶ δὴ σπεύσας προφθάνει
the executioners going-to-check and indeed having-hastened overtakes
τούτους ἔνδοθεν τῶν λεγομένων χειρῶν, ἃς ὁ
them within the called hands which the(-one)

διαβὰς οὐκέτι ῥύεται τοῦ δεινοῦ. οἱ γὰρ τὰς χαλκᾶς
having-crossed no-longer is-rescued from-the terrible(-thing) the for the bronze
ταυτασὶ χεῖρας βασιλεῖς πήξαντες ἐπί τινος ὑψηλοτάτης
these-here hands emperors having-fixed on some very-high
περιωπῆς καὶ μετεώρου λιθίνης ἀψῖδος τοῦτο κρατῆσαι
lookout and aloft stone arch this to-hold
ἐβούλοντο, ὡς εἰ μέν τις ἐντὸς τούτων γένοιτο, ὃν
wished that if indeed someone within these should-be whom
ὁ νόμος θανάτῳ κατέκρινε, καὶ μεταξὺ τῆς ὁδοῦ φθάσοι
the law to-death condemned and between the road should-arrive
τὰ τῆς αὐτοκρατορόθεν φιλανθρωπίας, ἐλεύθερος
the(-things) of-the from-the-emperor humanity free
ἔσται τῆς συμφορᾶς, ὡς τῶν χειρῶν τοῦτο σημαινουσῶν,
he-will-be of-the misfortune as the hands this signifying
ὅτι ὁ βασιλεὺς τούτους πάλιν ἐνηγκαλίσατο καὶ ὅλαις
that the emperor them again embraced and with-whole
κατέσχε χερσὶ καὶ μήπω τῶν τῆς φιλανθρωπίας χειρῶν
held hands and not-yet from-the of-the humanity hands
ἀπολέλυκεν. εἰ δ' ὑπερβαῖεν ἐκείνας, σύμβολόν ἐστι τοῦτο,
has-released if and they-should-pass those sign is this
ὡς δῆθεν καὶ τὸ βασίλειον κράτος τούτους ἀπώσατο. τῆς
that supposedly also the imperial sovereignty them has-thrust-away of-the
Τύχης οὖν ἐστι τὰ τῶν ὑπὸ τὴν τιμωρίαν ἀνθρώπων·
Fortune then is the(-things) of-the under the punishment men
ἣν ἐγὼ θείαν ψῆφον εἶναι λογίζομαι, καὶ δεῖ καλεῖν
which I divine decree to-be reckon and one-must call
ἐκείνην εἰς ἀρωγήν. ἢ γὰρ τὰ τῆς συμπαθείας
her to aid either for the(-things) of-the pardon
ἐντὸς ἔφθακε τῶν χειρῶν καὶ ἐξῄρηντο τῶν κινδύνων
within has-arrived the hands and had-been-rescued from-the dangers
οἱ δυστυχοῦντες ἢ τὰς χεῖρας παρωδευκότες καὶ πόρρω
the unfortunate or the hands having-passed also far

σωτηρίας εἰσίν. ἐγὼ δὲ τὸ πᾶν εἰς τὴν τοῦ Θεοῦ ἀνατίθημι
from-safety they-are I and the whole to the — of-God ascribe
πρόνοιαν, ἣ καὶ τότε τὸν ἄνδρα τῆς ἐξορύξεως τῶν
providence which also then the man from-the digging-out of-the
ὀμμάτων τοῦτον ἐξείλετο. Θεὸς γὰρ ἡμᾶς, ὡς ἔοικε, τὸ
eyes this rescued God for us as seems the
τηνικαῦτα ἐκίνησεν εἰς τὴν τούτου συμπάθειαν. ὁ γάρ
then moved to the his pity the for
τοι τῆς σωτηρίας ἄγγελος σπεύσας ἔνθεν τῆς ἀψῖδος,
surely of-the safety messenger having-hastened from-here of-the arch
ἐν ᾗ αἱ χαλκαῖ χεῖρες ἦσαν ἐμπεπηγμέναι, τὸ τῆς
in which the bronze hands were fixed the of-the
συμπαθείας γραμμάτιον ἐπιδοὺς τοῖς τὸν Μιχαὴλ
pardon note having-handed to-the(-men) — Michael
ἄγουσιν ἐκεῖθεν τοῦτον λαβὼν ὑπέστρεφε καὶ καταλαβὼν
leading from-there him having-taken returned and having-reached
τὸν ἀγχοῦ τῶν ἀνακτόρων ᾠκοδομημένον πύργον κεῖθι
the near the palace built tower there
τοῦτον καθεῖρξε· τοῦτο γὰρ ποιῆσαι κεκέλευστο.
him shut-up this for to-do he-had-been-ordered

Gregory Taronites, made duke of Trebizond, rebels on his way there, seizes Dabatenos and the leading men, who escape and hold Tibenna, and answers the emperor's letters with abuse of the senate and the imperial family. Alexios sends his nephew John, Gregory's cousin, against him. Gregory flees toward Koloneia to call in Tanismanes, but John's men overtake and unhorse him. John, sworn not even to look at him, pleads for him while Alexios feigns to blind him; shorn and paraded, Gregory is shut in the tower of Anemas, and at last pardoned and honored as never before.

Οὔπω δ' οὗτος τῆς εἱρκτῆς ἠλευθεροῦτο καὶ τὸν
not-yet and he from-the prison was-freed and —
Γρηγόριον αὖθις ἡ τοῦ Ἀνεμᾶ εἶχεν εἱρκτή. πύργος δ'
Gregory again the — of-Anemas held prison tower and
ἦν εἷς τις τῶν ἀγχοῦ τῶν ἐν Βλαχέρναις ἀνακτόρων
it-was one a-certain of-the near the in Blachernai palace
διακειμένων τειχῶν τῆς πόλεως, ὁ τοῦ Ἀνεμᾶ καλούμενος,
lying walls of-the city the — of-Anemas called
ὥσπερ τι λάχος τὴν ἐπωνυμίαν ταυτηνὶ κληρωσάμενος
as some lot the name this-here having-obtained
διὰ τὸ πρώτως τὸν Ἀνεμᾶν σιδηρόδετον δέξασθαι
because-of the first — Anemas iron-bound to-have-received
ἐπὶ πολὺν ἐν αὐτῷ χρονοτριβήσοντα χρόνον. καὶ γὰρ
for long in it going-to-spend time and for
ἐπινεμήσεως παριππευούσης δωδεκάτης δοὺξ προβληθεὶς
indiction passing twelfth duke appointed
Τραπεζοῦντος ὁ ἤδη ῥηθεὶς Γρηγόριος ἀποστασίαν
of-Trebizond the already mentioned Gregory rebellion
πάλαι ὠδίνων ἐν τῷ πρὸς Τραπεζοῦντα ἀπέρχεσθαι
long-ago being-in-labor-with in the to Trebizond to-go-off
εἰς φῶς ἐξήγαγε τὸ ἀπόρρητον. ἐπανιόντι γὰρ πρὸς
into light brought-out the secret returning for to

τὴν Κωνσταντινούπολιν τῷ Δαβατηνῷ τῆς δουκικῆς
— Constantinople — Dabatenos the ducal
ἀρχῆς εἰς τὸν Ταρωνίτην μετατεθείσης συναντήσας
office to — Taronites having-been-transferred having-met
δεσμώτην εὐθὺς αὐτὸν καὶ ἔμφρουρον εἰς Τήβενναν εἶχεν,
prisoner at-once him and in-custody in Tibenna held
οὐ τὸν Δαβατηνὸν δὲ μόνον, ἀλλὰ καὶ τῶν ἐπιφανῶν
not — Dabatenos and only but also of-the illustrious
Τραπεζουντίων ἱκανοὺς καὶ αὐτὸν δὴ τὸν τοῦ
Trebizondines considerable(-numbers) and himself indeed the —
Βακχηνοῦ ἀδελφιδοῦν. ἐπεὶ δὲ τῶν δεσμῶν καὶ τῆς
of-Bakchenos nephew since and from-the bonds and from-the
εἱρκτῆς οὐκ ἐλύοντο, ὁμοφρονήσαντες ἅπαντες τοὺς μὲν
prison not they-were-loosed having-agreed all the indeed
φρουροῦντας αὐτοὺς τοῦ ἀποστάτου αἰκίαις καθυποβαλόντες
guarding them of-the rebel to-outrages having-subjected
ἔξω τῶν τειχῶν ἐξαγαγόντες πόρρω που ἀπήλασαν,
outside the walls having-led-out far somewhere drove-off
αὐτοὶ δὲ τὴν Τήβενναν σφετερισάμενοι κατεῖχον. ὁ
they and — Tibenna having-appropriated held the
δ' αὐτοκράτωρ πολλάκις διὰ γραφῶν ποτὲ μὲν
and autocrat often through letters at-one-time indeed
μετεπέμπετο αὐτόν, ποτὲ δὲ καὶ ξυνεβούλευε τῆς
summoned him at-another and also advised from-the
κακίστης ἀποστῆναι πράξεως, εἰ βούλοιτο συμπαθείας
most-wicked to-stand-away deed if he-should-wish pardon
τυχεῖν καὶ εἰς τὴν προτέραν ἀναχθῆναι κατάστασιν,
to-obtain and to the former to-be-restored state
ἐνίοτε δὲ καὶ ἠπείλει, εἰ μὴ πείθοιτο. ὁ δὲ τοσοῦτον
sometimes and also threatened if not he-should-obey he and so-much
ἀπεῖχε τοῦ ὑπακούειν τοῦ αὐτοκράτορος τὰ λῴονα
was-far from-the to-obey the autocrat the better(-things)

συμβουλεύοντος, ὡς καὶ γραφὴν πολύστιχον πρὸς αὐτὸν
advising that also letter many-lined to him
ἐκπεπομφέναι καθαπτομένην οὐ μόνον τῶν τῆς συγκλήτου
to-have-sent assailing not only the of-the senate
καὶ τοῦ στρατοῦ λογάδων, ἀλλὰ καὶ αὐτῶν δὴ τῶν
and of-the army elite but also themselves indeed the
συγγενῶν καὶ γαμβρῶν τοῦ αὐτοκράτορος. ἐκ ταυτησὶ δὲ
kinsmen and in-laws of-the autocrat from this-here and
τῆς γραφῆς διαγνοὺς αὐτὸν ὁ αὐτοκράτωρ καθ' ἑκάστην
the letter having-discerned him the autocrat on each(-day)
ἐπὶ τὸ χεῖρον προβαίνοντα καὶ εἰς παντελῆ ἀπόνοιαν
to the worse advancing and into utter madness
ἤδη συνελαυνόμενον καὶ ἀπογνοὺς αὐτοῦ παντάπασι τῆς
already being-driven and having-despaired of-him entirely the
τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως ἐφισταμένης Ἰωάννην τὸν
fourteenth indiction being-at-hand John the
ἴδιον ἀδελφιδοῦν τῆς πρωτοτόκου αὐταδέλφης, ἐξάδελφον
own nephew of-the first-born own-sister cousin
δὲ πατρόθεν τοῦ ἀποστάτου πέμπει κατ' αὐτοῦ κατὰ
and on-the-father's-side of-the rebel sends against him at
πρῶτον μὲν λόγῳ μᾶλλον συμβουλευσόμενον τὰ σωτήρια,
first indeed by-word rather going-to-advise the saving(-things)
οἰόμενος πεισθῆναι τούτῳ διὰ τὴν ἐκ τῆς συγγενείας
thinking to-be-persuaded by-him because-of the from the kinship
γνησιότητα καὶ τὴν ἐκ ταὐτοῦ αἵματος ἀμφοῖν κοινωνίαν·
genuineness and the from the-same blood of-both fellowship
εἰ δὲ μὴ βούλοιτο, ἀνδρικῶς ἀντικαταστῆναι διά τε ξηρᾶς
if and not he-should-wish manfully to-oppose by both land
καὶ θαλάσσης πολλὰς συνεπαγόμενον δυνάμεις. μαθὼν δὲ
and sea many bringing forces having-learned and
τὴν τούτου ἔλευσιν ὁ Ταρωνίτης Γρηγόριος ἐξελθὼν ὡς
the his coming — Taronites Gregory having-gone-out as

πρὸς Κολώνειαν ἀπῄει (πολίχνιον δὲ τοῦτο ἐρυμνότατον
to Koloneia went-off little-town and this very-strong
καὶ ἀνάλωτον) ἐφ᾽ ᾧ μετακαλέσασθαι τὸν Τανισμάνην
and impregnable for which to-summon — Tanismanes
εἰς ἀρωγήν. τοῦτο ἐν τῷ ἀπιέναι μεμαθηκὼς ὁ Ἰωάννης
for help this in the going-off having-learned — John
τοὺς Κελτοὺς τοῦ ἰδίου στρατεύματος ἀποδιελόμενος
the Celts of-the own army having-separated
καὶ λογάδας Ῥωμαίους κατ᾽ αὐτοῦ ἐξέπεμψεν. οἳ καὶ
and picked Romans against him sent-out who also
προκαταλαβόντες καρτερὰν τὴν μετ᾽ αὐτοῦ ἀνεδήσαντο
having-overtaken hard the with him took-up
μάχην. δύο δὲ γενναῖοι ἐντυχόντες αὐτῷ κατέσχον διὰ
battle two and brave(-men) having-met him seized with
τῶν δοράτων καταβαλόντες τοῦ ἵππου. κᾆθ᾽ οὕτως
the spears having-thrown-down from-the horse and-then thus
ἀναλαβόμενος αὐτὸν ὁ Ἰωάννης ζωγρίαν ἄγει τῷ
having-taken him — John alive leads to-the
αὐτοκράτορι ἐπομοσάμενος μηδὲ θεάσασθαι αὐτὸν τὸ
autocrat having-sworn not-even to-see him the
παράπαν, μὴ ὅτι γε ὁμιλίας ἀξιῶσαι κατὰ τὴν ὁδόν.
at-all not that at-least of-converse to-deem-worthy on the road
πολλὰ δὲ ὅμως ὑπὲρ αὐτοῦ παρεκάλει τὸν αὐτοκράτορα,
much and nevertheless for him begged the autocrat
ἐκείνου ὑποκρινομένου τῶν ὀμμάτων αὐτὸν βούλεσθαι
he pretending of-the eyes him to-wish
ἀποστερῆσαι. μόγις οὖν ὁ αὐτοκράτωρ τὴν ὑπόκρισιν
to-deprive hardly then the autocrat the pretense
παρεγύμνωσε κατανεύσας δῆθεν ταῖς αὐτοῦ παρακλήσεσι
laid-bare having-assented supposedly to-the his entreaties
πολλὰ παρεγγυησάμενος, μὴ ἔκφορον τὸν λόγον ποιήσασθαι.
much having-enjoined not public the word to-make

μετὰ δὲ τρίτην ἡμέραν τὴν ἐν χρῷ κουρείαν κειράμενον
after and third day the to skin shearing having-been-shorn
τὴν κεφαλήν τε καὶ τὸν πώγωνα διὰ μέσης περιαχθῆναι
the head both and the beard through middle to-be-led-around
τῆς ἀγορᾶς ἐκέλευσε κᾆθ' οὕτως εἰς τὸν ἤδη ῥηθέντα
of-the market-place ordered and-then thus into the already mentioned
πύργον τοῦ Ἀνεμᾶ εἰσαχθῆναι. ἐπεὶ δὲ καὶ ἔμφρουρος ὢν
tower — of-Anemas to-be-brought-in since and also in-custody being
ἀσύνετος ἦν ἀπονοίας ῥήματα πρὸς τοὺς δεσμοφύλακας
senseless he-was of-madness words to the jailers
ὁσημέραι ἀποφοιβάζων, πολλῆς παρὰ τοῦ αὐτοκράτορος
daily uttering-like-an-oracle much from the autocrat
ἐπιμελείας διὰ μακρῶν ἠξιοῦτο χειρῶν, ὥστε
care through long he-was-deemed-worthy-of hands so-that
μεταβαλεῖν καὶ μετανοίας ἐνδείξασθαι τρόπον. ὁ δὲ ὁ
to-change and of-repentance to-show way he and the
αὐτὸς καὶ αὖθις ἦν, μετεκαλεῖτο δὲ συχνῶς τὸν ἐμὸν
same and again was summoned and often the my
Καίσαρα πάλαι πρὸς ἡμᾶς φιλίως ἔχων. καὶ παρεχώρει
Caesar long-ago toward us friendly being and granted
τούτῳ τηνικαῦτα καὶ ὁ αὐτοκράτωρ ἐφ' ᾧ καὶ τῆς
to-him then also the autocrat for which both from-the
πολλῆς αὐτὸν ἀνακτᾶσθαι ἀθυμίας καὶ συμβουλεύειν τὰ
much him to-restore despondency and to-advise the
λῴονα. ὁ δὲ βραδὺς πρὸς τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν
better(-things) he and slow toward the to the better change
ἐφαίνετο. ἔνθεν τοι καὶ ἐπὶ πλείονα καιρὸν ἔμφρουρος ἦν.
appeared whence surely also for more time in-custody he-was
εἶτα συμπαθείας ἀξιωθεὶς τοσαύτης φιλοφροσύνης
then of-pardon having-been-deemed-worthy so-much kindness

ἀπήλαυε καὶ δωρεῶν καὶ τιμῆς ὁπόσης οὐδὲ πρὸ τοῦ,
enjoyed and gifts and honor as-much-as not-even before the(-time)
ὁποῖος ὁ ἐμὸς βασιλεὺς περὶ τὰ τοιαῦτα.
such-as the my emperor about the such(-things)

XX · OTRANTO AND THE POPE

Isaac Kontostephanos, made great duke, is told to guard the strait against Bohemond but sails to Otranto instead. Tancred's mother, holding the city, keeps him in suspense with acclamations of the emperor until her son arrives and routs the sailors. Bohemond takes six captured Scythians to the pope as proof that Alexios sets pagans against Christians, and wins leave to cross. Exazenos Hyaleas and his companions recover the day. At Avlona the Kontostephanoi, afraid of Bohemond, go off to bathe at Chimara, leaving Landulf on guard.

Οὕτω μὲν οὖν τὰ κατὰ τοὺς ἐπιβούλους καὶ
thus indeed then the(-affairs) concerning the plotters and
τὸν ἀποστάτην Γρηγόριον οἰκονομήσας οὐδὲ τὰ
the rebel Gregory having-managed not-even the(-affairs)
κατὰ τὸν Βαϊμοῦντον ἐλάθετο, ἀλλὰ μεταπεμψάμενος τὸν
concerning — Bohemond he-forgot but having-summoned —
Κοντοστέφανον Ἰσαάκιον μέγαν δοῦκα τοῦ στόλου
Kontostephanos Isaac grand duke of-the fleet
προὐβάλετο καὶ πρὸς τὸ Δυρράχιον ἐξέπεμψεν
appointed and to — Dyrrachion sent-out
ἐπαπειλησάμενος τὴν τῶν ὀφθαλμῶν αὐτοῦ ἐκκοπήν,
having-threatened the of-the eyes his cutting-out
εἰ μὴ φθάσας προκαταλάβοι τὴν πρὸς τὸ Ἰλλυρικὸν τοῦ
if not having-been-first he-should-forestall the to — Illyricum —
Βαϊμούντου διαπεραίωσιν. πέμπει δὲ καὶ συνεχῆ γράμματα
of-Bohemond crossing sends and also continual letters

πρὸς τὸν δοῦκα Δυρραχίου Ἀλέξιον, τὸν ἀδελφιδοῦν αὐτοῦ,
to the duke of-Dyrrachion Alexios the nephew his
ἐπαλείφων τοῦτον καὶ παρασκευάζων ἐγρηγορέναι διὰ
anointing him and preparing to-be-awake through
παντὸς καὶ τοὺς κατὰ τὴν θάλασσαν ἐπισκοποῦντας
all and the(-men) on the sea watching
αὐτὸ τοῦτο ποιεῖν παρακελεύεσθαι, ὡς μὴ λάθοι
itself this to-do to-urge that not should-escape-notice
ὁ Βαϊμοῦντος διαπεράσας, ἀλλ' εὐθὺς δηλωθῆναί οἱ
— Bohemond having-crossed but at-once to-be-made-known to-him
διὰ γραμμάτων. ταῦτα μὲν οὖν ὁ αὐτοκράτωρ· ὁ
through letters these(-things) indeed then the autocrat —
δὲ Κοντοστέφανος ἐντεταλμένον ἔχων μηδὲν ἄλλο ἢ τὸν
and Kontostephanos ordered having nothing other than the
ἀναμεταξὺ ἐπιμελῶς τηρεῖν πορθμὸν καὶ τοὺς πρὸς τὸ
between carefully to-guard strait and the to —
Δυρράχιον προπομποὺς τοῦ Βαϊμούντου καὶ πᾶσαν τὴν
Dyrrachion forerunners — of-Bohemond and all the
αὐτοῦ παρασκευὴν ἐκεῖθεν ἐνθάδε κομισομένους ἀπείργειν
his equipment from-there to-here going-to-convey to-keep-off
καὶ μηδὲ τὸ τυχὸν κομίζεσθαί οἱ ἐκ Λογγιβαρδίας
and not-even the chance(-thing) to-be-conveyed to-him from Lombardy
παράπαν συγχωρεῖν ἀπελθὼν ἠγνόησε τὸν ἐπιτήδειον
at-all to-allow having-gone missed the suitable
τόπον τῶν ἐκεῖθεν πρὸς τὸ Ἰλλυρικὸν διαπλῳζομένων·
of-oxen and having-sewn-together from-everywhere and this indeed the
παρ᾽ Ὁμήρου λεγόμενον ἑπταβόειον τὸν ὄροφον καὶ τοὺς
by Homer said seven-oxhide the roof and the
τοίχους τοῦ μηχανήματος ποιησάμενοι κᾆθ᾽ οὕτως ἔνδον
walls of-the engine having-made and-then thus inside
τοὺς κριοὺς ἀπῄώρησαν. ἐπεὶ δὲ οὕτως εἶχεν αὐτῷ τὸ
the rams they-hung since and thus had for-him the
μηχάνημα, τοῦτο καὶ προσήγγισε τῷ τείχει, μυριάνδρου
engine this and approached the wall a-ten-thousand-strong
πλήθους ἔνδοθεν μετά τινων κοντῶν προωθούντων αὐτὸ
multitude within with some poles pushing it
καὶ ἐγγύθεν ποιουμένων τῶν τοῦ Δυρραχίου τειχῶν. ἐπειδὴ
and near making(-it) the — of-Dyrrachion walls since
ἀποχρώντως εἶχεν αὐτοῖς ἡ ἐγγύτης καὶ συμμέτρως
sufficiently had for-them the nearness and fittingly
τὰ πρὸς ἀπόστασιν, ὑφεῖλον μὲν τὰς τροχιάς,
the(-things) for distance they-removed indeed the wheels
περιπήγμασι δὲ πανταχόθεν ἀσφαλισάμενοι τὸ μηχάνημα,
with-fastenings and from-everywhere having-secured the engine
ἵνα μὴ ταῖς ὠθήσεσι τὸ στέγος διασαλεύοιτο, ἐνταῦθά
that not by-the thrusts the roof might-be-shaken there
τινες ἄνδρες ῥωμαλεώτατοι ἑκατέρωθεν τοῦ κριοῦ σφοδρῶς
some men most-robust on-both-sides of-the ram violently
ὠθοῦντες ἐπὶ τὸ τεῖχος εἴχοντο τῆς ὁμοταγοῦς τοιαύτης
pushing against the wall held-to the uniform such
κινήσεως. καὶ οἱ μὲν καθάπαξ ὤθησαν σφοδρῶς τὸν
motion and they indeed once pushed violently the
κριόν, ὁ δὲ καθάπαξ παρενεχθεὶς ἐσπάραττέ τε τὸ
ram it and once carried-forward tore both the

τεῖχος καὶ ἐκεῖθεν ἀποκρουόμενος καὶ παλιμπόρευτον τὴν
wall and from-there being-beaten-back and backward the
φορὰν ποιούμενος ἀντεσπαράττετο. καὶ τοῦτο πολλάκις
motion making was-torn-in-turn and this often
ἐποίει τέως πολλάκις περιφερόμενος ἑκατέρωθεν καὶ
it-did meanwhile often being-swung on-both-sides and
διατιτραίνων τὸ τεῖχος οὐκ ἔληγε. κριὸν δὲ εἰκότως οἱ
boring-through the wall not it-ceased ram and fittingly the
ἀρχαῖοι μηχανικοὶ καὶ περὶ τὰ Γάδειρα τοῦτο ἐφευρηκότες
ancient engineers and about — Gadeira this having-invented
προσωνομάκασιν ἐκ μεταφορᾶς τῶν καθ' ἡμᾶς κριῶν, οἳ
named from metaphor of-the among us rams which
κατ' ἀλλήλων ἀντεπερχόμενοι διαγυμνάζονται. ἀλλ' οἱ
against each-other charging exercise but the(-men)
ἔνδον καταγελῶντες τῆς τραγικῆς ταυτησὶ τειχομαχίας τῶν
inside laughing-at the tragic this-here wall-fighting of-the
βαρβάρων τούτων καὶ κριοφόρων ἀνδρῶν καὶ ὅτι εἰς οὐδὲν
barbarians these and ram-bearing men and that to nothing
αὐτοῖς περατοῦται τὰ τῆς πολιορκίας, ἀναπετάσαντες
for-them ends the(-things) of-the siege having-opened
τὰς πύλας ἐκέλευον εἰσιέναι καταγελῶντες τῶν ἀπὸ τοῦ
the gates bade to-come-in laughing-at the from the
κριοῦ προσκρουμάτων ἐγγινομένων. "οὐ γὰρ ἂν" ἔφασαν
ram blows occurring not for — they-said
"ἐργάσαιτο κριὸς τοιοῦτον χάσμα ἐκ τῆς κατ' αὐτὸν
would-make ram such a-gap from the by it
τειχομαχίας, οἷον ἡ πύλη παρέχεται". τοῦτο μὲν οὖν
wall-fighting as the gate offers this indeed then
αὐτίκα τῇ τῶν ἔνδοθεν ἀνδρείᾳ καὶ τῷ θαρραλέῳ τοῦ
at-once by-the of-the(-men) inside courage and by-the boldness of-the
στρατηγοῦντος Ἀλεξίου καὶ ἀδελφιδοῦ τοῦ αὐτοκράτορος
commanding Alexios and nephew of-the autocrat

Ἀλεξίου εἰς κενὸν ἀποδέδεικται, ἐρραθυμηκότων καὶ αὐτῶν
Alexios into vain has-been-shown having-grown-slack also themselves
τῶν πολεμίων ὅσον γε πρὸς τοῦτο καὶ ἀπειπαμένων
the enemies as-much-as at-least toward this and having-renounced
τὴν πολιορκίαν. τὸ γὰρ ἀνδρεῖον τῶν ἔνδοθεν καὶ
the siege the for courage of-the(-men) inside and
τὸ ἀνεῳ̃ξαι τὰς πύλας τοῖς βαρβάροις καὶ θαρρεῖν
the to-have-opened the gates to-the barbarians and to-take-courage
κατ᾽ αὐτῶν εἰς δειλίαν ἐνέβαλε καὶ τοῦ μηχανήματος
against them into cowardice threw and of-the engine
ἀπαγόρευσιν. οὕτω μὲν οὖν ἤργει τὰ περὶ τῆς
renunciation thus indeed then was-idle the(-things) about the
κριοφόρου χελώνης· οὐδὲν δὲ ἧττον καὶ τὸ πῦρ ἄνωθεν
ram-bearing tortoise nothing and less also the fire from-above
ἐπιρριφὲν κατὰ τοῦ μηχανήματος ἀργοῦντος ἤδη καὶ
having-been-thrown against the engine idle already and
ἀκινήτου μένοντος διὰ τὰς προειρημένας αἰτίας εἰς
motionless remaining because-of the aforesaid causes into
τέφραν μετήμειψεν. ἀπὸ τοίνυν τούτων τὸ Φραγγικὸν
ash changed from therefore these the Frankish
ἀπειπάμενον πλῆθος πρὸς ἄλλο μηχάνημα φοβερώτερον
having-desisted multitude to another engine more-fearsome
μετελήλυθεν ἐπὶ τὰ βορειότερα μεταστρέψαν ἀντικρὺ
passed to the more-northern(-parts) having-turned opposite
τῆς δουκικῆς καθέδρας, ὅπερ πραιτώριον προσωνόμαστο.
the ducal seat which praetorium was-named
ἦν δὲ τὰ τῆς θέσεως τοῦ τόπου τοιάδε. εἰς λόφον
was and the(-things) of-the position of-the place such into a-hill
ὁ τόπος ἀνίστατο, λέγω δὲ οὐ πετρώδη τὸν λόφον,
the place rose I-say and not rocky the hill
ἀλλὰ γεώδη· ἐφ᾽ οὗπερ λόφου τὸ τεῖχος τῆς πόλεως
but earthy on which hill the wall of-the city

ἵδρυτο. τούτου καταντικρύ, καθάπερ ἔφημεν, εὐστοχώτατα
was-founded this opposite as we-said most-skillfully
ὀρύττειν οἱ περὶ τὸν Βαϊμοῦντον ἀπήρξαντο. ἄλλο
to-dig the(-men) around — Bohemond began another
τοῦτο κακὸν ταῖς πόλεσι μεμηχανημένον παρὰ τοῖς
this evil to-the cities devised among the
πολιορκηταῖς καὶ ἄλλο πολιορκητικὸν ὄργανον κατὰ τῆς
besiegers and another siege instrument against the
πόλεως τούτοις πανουργευόμενον. ὀρύττοντες γὰρ ἐπῄεσαν
city by-them craftily-wrought digging for they-advanced
ὑπὸ γῆν καθάπερ τινὲς ἀσπάλακες τὸν ὑπόγειον χοῦν
under earth like some moles the underground soil
διατιτραίνοντες καὶ ποῦ μὲν χελώναις ἀκροστέγοις
boring-through and in-places indeed with-tortoises roofed-over
περιφρουροῦντες τὰ ἄνω μέρη διὰ τὰς ἄνωθεν
guarding the upper parts because-of the from-above
βαλλομένας βολὰς πετρῶν τε καὶ τόξων, ποῦ δὲ καὶ τὸ
thrown shots of-stones both and of-arrows in-places and also the
μετέωρον τῆς γῆς στύλοις τισὶν ὑπερείδοντες ὑπώρυττον
overhang of-the earth with-pillars some propping they-undermined
ἐξ εὐθείας φερόμενοι, πλατύτατόν τε καὶ εὐμηκέστατον
from straight going very-broad both and very-long
τάφρον ποιούμενοι καὶ δι᾽ ἁμαξῶν ἀεὶ ἐκφερόμενοι τὸν
trench making and by wagons always carrying-out the
ἀπὸ τοῦ ὀρύγματος χοῦν. ἐπεὶ δὲ εἶχον ἀρκούντως τῆς
from the digging soil when and they-had sufficiently of-the
διατρήσεως, ἔχαιρον ὥσπερ τι μέγα κατειργασμένοι.
boring they-rejoiced as-if something great having-accomplished
ἀλλ᾽ οὐκ ἠμέλησαν οἱ ἐντός, ἀλλὰ κατὰ διάστημα τὴν
but not neglected the(-men) inside but at an-interval the
γῆν ἀνορύξαντες καὶ τάφρον ἀξιόλογον ποιησάμενοι κατὰ
earth having-dug-up and trench considerable having-made along

τὸ διατεῖνον τῆς τάφρου ἐκάθηντο προσέχοντες, ὅπου
the extension of-the trench sat watching where
δῆτα τὸ πολιορκοῦν μέρος τὴν ἐκεῖθεν ἐνθάδε διάτρησιν
indeed the besieging party the from-there hither boring
μέλλει ποιήσασθαι. καὶ εὐθὺς κατά τινα τόπον ἐφευρηκότες
is-about to-make and at-once at some place having-found
αὐτοὺς κρούοντάς τε καὶ ἀνασκάπτοντας καὶ τὰς ῥίζας
them striking both and digging-up and the roots
τοῦ τείχους ὀρύττοντας ᾔσθοντό τε αὐτοὺς καὶ μᾶλλον
of-the wall digging perceived both them and more
τὴν ἀπ᾽ ἐκείνων *** ὀπὴν ἀνερρωγότες καταντικρὺ
the from them (lacuna) hole having-broken-through opposite
καὶ θεασάμενοι τὸ πλῆθος ἀπὸ τῆς ἐντὸς γινομένης
and having-beheld the multitude from the inside made
τρυμαλιᾶς πυρὶ τὰ τούτων πρόσωπα κατηθάλωσαν.
hole with-fire the their faces they-burned
τοῦτο δὲ τὸ πῦρ ἀπὸ τοιούτων μηχανημάτων αὐτοῖς
this and the fire from such devices for-them
διεσκεύαστο. ἀπὸ τῆς πεύκης καὶ ἄλλων τινῶν τοιούτων
was-prepared from the pine and other some such
δένδρων ἀειθαλῶν συνάγεται δάκρυον εὔκαυστον. τοῦτο
trees evergreen is-collected sap inflammable this
μετὰ θείου τριβόμενον ἐμβάλλεταί τε εἰς αὐλίσκους
with sulfur ground is-put both into tubes
καλάμων καὶ ἐμφυσᾶται παρὰ τοῦ παίζοντος λάβρῳ
of-reeds and is-blown by the(-man) playing with-violent
καὶ συνεχεῖ πνεύματι κᾆθ᾽ οὕτως ὁμιλεῖ τῷ πρὸς ἄκραν
and continuous breath and-then thus it-meets the at (the)-tip
πυρὶ καὶ ἐξάπτεται καὶ ὥσπερ πρηστὴρ ἐμπίπτει ταῖς
fire and is-kindled and like a-fiery-whirlwind falls-on the
ἀντιπρόσωπον ὄψεσι. τούτῳ τῷ πυρὶ κεχρημένοι οἱ
opposite faces with-this the fire having-used the(-men)

τἄνδον τοῦ Δυρραχίου κατέχοντες, ἐπείπερ ἀντιπρόσωποι
the-inside — of-Dyrrachion holding since opposite
ἦσαν τοῖς πολεμίοις, τάς τε γενειάδας αὐτῶν κατέφλεξαν
they-were to-the enemies the both beards their they-burned
καὶ τὰ πρόσωπα. καὶ ἦν ἰδεῖν τούτους καθάπερ σμῆνος
and the faces and it-was to-see them like a-swarm
μελισσῶν ὑπὸ καπνοῦ διωκόμενον ἐξαγομένους ἀτάκτως,
of-bees by smoke being-chased being-driven-out in-disorder
ὅθεν εὐτάκτως εἰσῄεσαν. ἐπεὶ δὲ καὶ τοῦτο αὐτοῖς εἰς
whence in-order they-had-entered when and also this for-them in
μάτην πεπόνητο καὶ ἡ βαρβαρικὴ φροντὶς αὕτη εἰς οὐδὲν
vain had-been-labored and the barbarian care this into nothing
δέον ἀπετελεύτησε, τρίτον αὐτοῖς ἐπινοεῖται μηχάνημα
needful ended a-third by-them is-devised engine
πύργος ξύλινος, ὅπερ, ὡς ἡ φήμη φησί, πολιορκητικὸν
a-tower wooden which as the report says siege
ὄργανον οὐ μετὰ τὴν ἀστοχίαν τῶν προεσκευασμένων
instrument not after the failure of-the prepared
ὀργάνων κατῆρκτο γίνεσθαι, ἀλλὰ πρὸ τούτων εἰς
instruments had-begun to-be-made but before these for
ἐνιαυτὸν ὅλον. τοῦτο μὲν ἔργον εἶχε, τὰ δὲ προειρημένα
a-year whole this indeed work it-had the and aforesaid
ὄργανα πάρεργον. ἀλλὰ δεῖ με πρότερον ὀλίγα περὶ
instruments by-work but must I first few(-things) about
τοῦ σχήματος τῆς πόλεως Δυρραχίου ἀφηγήσασθαι. τὸ
the shape of-the city of-Dyrrachion to-narrate the
μὲν τεῖχος ταύτης ὑποχαλᾶται τοῖς πύργοις· οἱ δὲ
indeed wall of-it is-lower-than the towers the and
πύργοι κυκλόθεν ταύτης ἐξυπανίστανται, ὅσον εἰς ἕνδεκα
towers round-about of-it rise as-much-as to eleven
πόδας ὑψούμενοι, διὰ κοχλίου τινὸς τὴν ἄνοδον ἔχοντες
feet being-raised through spiral some the ascent having

ἐπάλξεσί τε ἠσφαλισμένοι. οὕτως ἔχει σχήματός τε καὶ
with-battlements both secured thus has of-shape both and
ἀσφαλείας ἡ πόλις. τὸ δὲ πάχος τοῦ τείχους εἰς ἀξιόλογον
of-security the city the and thickness of-the wall to considerable
πλάτος ἐκτέταται καὶ τοσοῦτον, ὥστε ἱππότας ἄνδρας
breadth has-been-extended and so-much that horsemen men
καὶ πλείους τῶν τεσσάρων τοὺς ὤμους συμμίξαντας
even more than-the four the shoulders having-joined
διιππάσασθαι ἀσφαλῶς. οὕτω μὲν οὖν ἐκπεφράσθω
to-ride-across safely thus indeed then let-have-been-described
μοι τὰ περὶ τοῦ τείχους ὡς ἐν παραδρομῇ τινα
by-me the(-things) about the wall as in passing some
σαφήνειαν τῶν μελλόντων ῥηθῆναι προαφηγησαμένῃ.
clarity of-the(-things) about-to be-said having-narrated-beforehand
τὰ δὲ τῆς πυργοποιίας τοῦ μηχανήματος τούτου,
the(-things) and of-the tower-building of-the engine this
ὅπερ καθάπερ χελώνης πύργον ἐμηχανήσαντο οἱ περὶ τὸν
which as of-a-tortoise a-tower devised the around —
Βαϊμοῦντον βάρβαροι, καὶ ἀφηγήσασθαι χαλεπὸν καὶ ἰδεῖν
Bohemond barbarians both to-narrate hard and to-see
φοβερόν, ὡς οἱ ἑωρακότες ἔλεγον, μὴ ὅτι γε οἷς
fearsome as the(-men) having-seen said not that at-least to-whom
προσεπέλασε φρικωδέστατον θέαμα. εἶχε δὲ τοιῶσδε.
it-approached most-dreadful sight it-had and thus
πύργος ξύλινος κατεσκεύαστο ἐκ τετραγώνου βάσεως
tower wooden had-been-built from square base
εἰς ἀξιόλογον μῆκος ἠρμένος καὶ τοσοῦτον, ὥστε τῶν
to considerable length raised and so-much so-that than-the
τῆς πόλεως πύργων ὑπερανέχειν εἰς πέντε που καὶ ἓξ
of-the city towers to-tower-above by five somewhere and six
πήχεις τὸ ὕψος. ἔδει γὰρ οὕτως κατεσκευάσθαι τὸν
cubits the height it-was-needful for thus to-have-been-built the

μόσυνα τοῦτον, ἵνα διά τινων ὑποβαθρῶν μετεώρων
wooden-tower this that through some gangways lofty
πρὸς τὸ χθαμαλώτερον καταχαλωμένων τὸ τεῖχος τῆς
to the lower being-let-down the wall of-the
πόλεως ἐκεῖθεν εὐκόλως καταδραμεῖται. οὕτω γὰρ ἂν
city from-there easily it-will-overrun thus for —
τὸ σφοδρὸν τῆς ῥύμης οὐκ ἂν ὑπενέγκοιεν οἱ ἐγχώριοι
the violence of-the rush not — would-withstand the natives
ἀεὶ πρὸς τὸ κατόπιν ὠθούμενοι. ὀπτικὴν δὲ ἄρα
always to the back being-pushed optical and after-all
τὴν ἐπιστήμην ἐπλούτουν, ὡς ἔοικεν, οἱ τὸ Δυρράχιον
the science were-rich-in as seems the — Dyrrachion
πολιορκοῦντες βάρβαροι. οὐ γὰρ ἄνευ τοιαύτης δυνάμεως
besieging barbarians not for without such power
τὰ ὕψη τῶν τειχῶν κατελάμβανον· εἰ δὲ μὴ ὀπτικῆς,
the heights of-the walls they-grasped if and not optical
ἀλλά γε τῆς ἀπὸ τῶν διοπτρῶν καταλήψεως. ὁ
but at-least the from the dioptras comprehension the
γοῦν πύργος ἐκεῖνος φοβερὸς μὲν ἰδεῖν, φοβερώτερος
at-any-rate tower that fearsome indeed to-see more-fearsome
δὲ κινούμενος κατεφαίνετο. τροχοὶ γὰρ πολλοὶ τὴν βάσιν
and moving appeared wheels for many the base
αὐτῷ μετεώριζον· ἀναμοχλευόμενος δὲ ὑπὸ τῶν ἔνδον
for-it raised being-levered and by the inside
στρατιωτῶν τοῖς μοχλοῖς θάμβος ἐποίει μὴ φαινομένης
soldiers with-the levers astonishment it-made not appearing
τῆς ἀρχῆς τῆς κινήσεως, ἀλλ' ὥσπερ τις γίγας ὑπερνεφὴς
the beginning of-the motion but as some giant above-the-clouds
ἀφ' ἑαυτοῦ ἐδόκει κινούμενος. ἐστέγαστο δὲ ἁπανταχόθεν
of itself seemed moving it-was-roofed and from-everywhere
ἐκ βάσεως ἄχρι κορυφῆς καὶ εἰς στέγας πολλὰς διῄρητο
from base to top and into stories many was-divided

καὶ θυρίσι κύκλῳ παντοδαπαῖς ἠνέῳκτο, ἀφ' ὧν
and with-windows round all-kinds was-opened from which
ἐξέπιπτε βέλη συχνά· πρὸς δὲ τὸ ἀνωτάτω μέρος ἄνδρες
fell-out missiles frequent at and the highest part men
ἦσαν ἐξωπλισμένοι θυμοειδεῖς καὶ ἐπὶ τῶν χειρῶν τὰ ξίφη
were armed spirited and in the hands the swords
φέροντες καὶ πρὸς ἄμυναν διηυτρεπισμένοι. ἐπεὶ δὲ τῷ
carrying and for defense prepared when and to-the
τείχει προσήγγισε τὸ φρικτὸν τουτὶ θέαμα, οὐκ ἀμελῶς
wall approached the dreadful this-here sight not carelessly
ἔσχον οἱ ἀμφὶ τὸν Ἀλέξιον καὶ στρατηγὸν τῆς πόλεως
were the(-men) about — Alexios and general of-the city
Δυρραχίου, ἀλλ' ἅμα τε τοῦτο τὸ μηχάνημα ἔξωθεν
of-Dyrrachion but at-the-same-time both this the engine outside
τῷ Βαϊμούντῳ κατεσκευάζετο ὥσπερ τις ἑλέπολις ἄφυκτος
— for-Bohemond was-being-built like some siege-engine inescapable
καὶ ἄλλο τι ἔνδοθεν τοῦ τείχους αὐτοῖς ἀντεμηχανᾶτο.
and another something inside the wall by-them was-counter-devised
ἑωρακότες γὰρ εἰς ὅσον ὕψος ὁ αὐτοκίνητος οὗτος
having-seen for to what height the self-moving this
πύργος ἐκτέταται καὶ ὅπου τοῦτον ἐστήριξαν ὑφελόμενοι
tower has-been-extended and where it they-fixed having-removed
τοὺς τροχούς, τέτταρα ξύλα μακρότατα καταντικρὺ τοῦ
the wheels four beams very-long opposite the
μόσυνος πήξαντες ὥσπερ ἀπὸ τετραγώνου βάσεως εἰς
wooden-tower having-fixed as from square base into
πήγματος σχῆμα διανιστάμενα κᾆθ' οὕτως βάσεις τινὰς
a-frame shape rising and-then thus platforms some
διειληφότες μεταξὺ τῶν ἀντιτεταγμένων ξύλων εἰς πῆχυν
having-placed between the opposed beams by a-cubit
ἕνα τὸν ἔξωθεν ξύλινον πύργον ἐποίησαν ἀνατρέχειν.
one the outside wooden tower they-made to-overtop

ἀστεγὲς δὲ ἦν ἁπανταχόθεν ὅλον τοῦτο τὸ διάστημα· οὐ
unroofed and was from-everywhere whole this the space not
γὰρ ἐδεῖτο προφυλακῆς, εἰ μὴ μόνον κατὰ τὴν κορυφὴν
for it-needed protection if not only at the top
ἐξωρόφωτο. ἐνταῦθα δὴ ἀναγαγόντες οἱ ἀμφὶ τὸν
it-was-roofed there indeed having-brought-up the(-men) about —
Ἀλέξιον στρατιῶται τὸ ἔνυγρον πῦρ περὶ τὰ ἀκρόστεγα
Alexios soldiers the liquid fire about the roof-tops
τοῦ ἀνεπιφράκτου ξυλοπύργου ἔμελλον ἐξακοντίζειν πρὸς
of-the unfenced wooden-tower were-about to-hurl against
τὸν ἀντίθετον μόσυνα. ἀλλ' ἐδόκει καὶ ἡ βουλὴ καὶ
the opposite wooden-tower but seemed both the plan and
τὸ πρᾶγμα οὐ πρὸς πανωλεθρίαν τοῦ μηχανήματος
the deed not for utter-destruction of-the engine
ἀρκεῖν. ἀκροθιγῶς γὰρ ἔμελλε τὸ πῦρ τὸ ἐντεῦθεν ἐκεῖσε
to-suffice superficially for was-about the fire the thence thither
πεμπόμενον τοῦ μόσυνος ἅπτεσθαι. ἀλλὰ τί μηχανῶνται;
sent the wooden-tower to-touch but what do-they-devise
πληροῦσι τὸν μεταξὺ τόπον τοῦ τε ξυλίνου καὶ τοῦ τῆς
they-fill the between place of-the both wooden and of-the of-the
πόλεως πύργου εὐκαταπρήστου παντοίας ὕλης καὶ ἐλαίου
city tower highly-flammable all-kinds-of material and of-oil
πολλοῦ κατὰ ποταμοὺς κενουμένου· τούτοις ἐπενήνεκτο
much in rivers poured-out to-these was-applied
πῦρ, δαλοὶ καὶ φλόγες, ὃ κατὰ μικρὸν ὑποτυφόμενον
fire torches and flames which by little smoldering
κᾆθ' οὕτως βραχείας ἀναπνοῆς ἐπιδραξάμενον ἔπειτα
and-then thus short breath having-seized then
εἰς περιφανῆ φλόγα διαρθὲν συνεπιλαμβανομένων καὶ
into conspicuous flame raised joining also
τῶν ἀπὸ τοῦ πυρὸς τοῦ ὑγροῦ πρηστήρων ἅπαν ἀνῆψε
the from the fire the liquid fiery-whirlwinds all kindled

τὸ φρικτὸν ἐκεῖνο καὶ πολυυλότατον μηχάνημα ἐμποιοῦν
the dreadful that and most-timbered engine making
ἦχον καὶ φοβερὰν θέαν ταῖς ὄψεσιν. αἴσθησις δὲ τοῦ
noise and fearsome sight to-the eyes perception and of-the
πολλοῦ πυρὸς ἦν κυκλόθεν μέχρι καὶ σταδίων τρισκαίδεκα·
much fire was round-about as-far-as even stades thirteen
θόρυβος δὲ καὶ ταραχὴ τοῖς ἔνδον βαρβάροις πολλὴ καὶ
uproar and also confusion to-the inside barbarians much and
ἀμήχανος τῶν μὲν ἐναπειλημμένων τῷ πυρὶ καὶ
helpless of-the(-ones) indeed caught by-the fire and
ἀποτεφρουμένων, τῶν δὲ ἀπὸ μετεώρου ῥιπτούντων
being-reduced-to-ash of-the(-others) and from aloft throwing
ἑαυτοὺς πρὸς τὴν γῆν· βοὴ δὲ πολλὴ καὶ ἀμήχανος
themselves to the earth shouting and much and helpless
ταραχὴ ἀντηχούντων καὶ τῶν ἐκτός.
confusion echoing-back also the(-men) outside

XXV · THE FORGED LETTERS

In spring Eirene returns to the City and Alexios goes to Diabolis, resolved to avoid open battle and to close every pass between the camps. Advised by Marinos of Naples, Roger, and Peter Aliphas, he writes letters of thanks as if in answer to Bohemond's closest men, his brother Guy, Koprisianos, Richard, and the Prinkipatos, and sends a pretended deserter to denounce them. Bohemond seizes the letters and spends six days in his tent, dizzy with doubt, but in the end leaves the men in their places.

Τοσαῦτα μὲν οὖν περὶ τοῦ ὑπερνεφοῦς μόσυνος καὶ
so-much indeed then about the above-the-clouds wooden-tower and
τῆς παρὰ τῶν βαρβάρων τειχομαχίας· ἀλλ' ἐπὶ τὸν
the by the barbarians wall-fighting but to the
βασιλέα καὶ αὖθις τὸν λόγον ἐπανακτέον. ἔαρος τοίνυν

ἐφισταμένου ἡ μὲν Αὔγουστα ἐκ τῆς Θεσσαλονίκης ὡς
being-at-hand the indeed Augusta from — Thessalonike as
πρὸς τὴν βασιλεύουσαν ἐπανέστρεφεν, ὁ δὲ αὐτοκράτωρ
toward the reigning(-city) returned the and autocrat
τῆς πρόσω πορείας εἴχετο καὶ τὴν Διάβολιν διὰ τῆς
of-the forward journey held and — Diabolis through —
Πελαγονίας καταλαμβάνει ἔνθεν περὶ τοὺς πρόποδας τῶν
Pelagonia reaches where about the foothills of-the
ἤδη ῥηθέντων δυσβάτων ἀτραπῶν οὖσαν. καὶ καινήν τινα
already mentioned impassable paths being and new some
στρατηγίαν κατὰ τῶν βαρβάρων μεμελετηκὼς δεῖν
strategy against the barbarians having-devised to-be-needful
ἐλογίσατο τοῦ μὲν δημοσίου πολέμου σχολὴν παντελῶς
he-reckoned the indeed public war leisure utterly
καταψηφίσασθαι καὶ ἀγχέμαχον διὰ ταῦτα τὴν
to-decree and hand-to-hand because-of these(-things) the
μάχην οὐκ ἤθελεν, ἀλλὰ τὰ δύσβατα τέμπη καὶ τὰς
battle not he-wished but the impassable valleys and the
ἀδιεξοδεύτους ὁδοὺς μεταίχμιον ἀμφοῖν τοῖν στρατοπέδοιν
impenetrable roads no-man's-land of-both the camps
καταλιπὼν τοὺς εὔνους ἅπαντας κατὰ τὰς ἀκρολοφίας
having-left the loyal all on the hilltops
μετὰ ἀποχρώσης δυνάμεως καταστήσας τὴν καινὴν ἐκείνην
with sufficient force having-stationed the new that
στρατηγίαν ἐμηχανήσατο, ὡς μήτε τοὺς ἔνθεν πρὸς
strategy devised so-that neither the(-men) hence to
τὸν Βαϊμοῦντον ῥᾷστα προσχωρεῖν δύνασθαι μήτ' ἐκεῖθεν
— Bohemond most-easily to-go-over to-be-able nor from-there
πρὸς τούτους αὖθις γράμματα φοιτᾶν ἢ προσηγορίας
to these again letters to-go or greetings
διαπέμπεσθαι, ὑφ' ὧν ὡς τὰ πολλὰ τὰ τῆς ἀγάπης
to-be-sent by which as the many(-times) the(-things) of-the love

ἑδράζεσθαι εἴωθε. σπάνις γὰρ προσηγορίας κατὰ τὸν
to-be-founded is-wont lack for of-greeting according-to the
Σταγειρίτην πολλὰς φιλίας διέλυσε. γινώσκων δὲ τὸν
Stagirite many friendships dissolved knowing and —
Βαϊμοῦντον ἄνδρα πονηρίας καὶ δραστηριότητος ἀνάπλεων
Bohemond a-man of-wickedness and energy full
ἤθελε μὲν καὶ τὴν κατὰ πρόσωπον πρὸς αὐτὸν μάχην
he-wished indeed also the in face with him battle
ἀναδέξασθαι, καθά γε καὶ εἴρηται, ἀλλὰ καὶ δι᾽ ἑτέρου
to-take-up as at-least also has-been-said but also through other
παντὸς τρόπου καὶ μηχανῆς κατ᾽ αὐτοῦ μελετῶν οὐδαμῶς
every way and device against him plotting in-no-way
ἐνεδίδου. διὰ δὲ τὰς ἤδη ῥηθείσας αἰτίας, καίτοι πολλὰ
gave-in because-of and the already mentioned causes although much
σφαδάζων πρὸς τοῦτο, φιλοκίνδυνός τε καὶ πυκνοκίνδυνος
struggling for this danger-loving both and often-in-danger
πάλαι ὢν οὑτοσὶ ὁ αὐτοκράτωρ καὶ ἐμὸς πατήρ, ἐπεὶ
long-ago being this-here the autocrat and my father since
τὸν λόγον εἶχεν ἐν πᾶσι κρατοῦντα, δι᾽ ἑτέρας μεθόδου
the reason he-had in all prevailing through other method
καταγωνίσασθαι τοῦτον ἔσπευδε. δεῖ γάρ, οἶμαι, τὸν
to-overcome him he-hastened must for I-think the
στρατηγὸν οὐκ ἀεὶ διὰ ξιφουλκίας τὴν νίκην ἑαυτῷ
general not always through sword-drawing the victory for-himself
σπεύδειν περιποιεῖσθαι, ἀλλὰ καὶ πρὸς πανουργίαν ἔστιν
to-hasten to-win but also for craft there-is
οὗ εὐτρεπίζεσθαι, ἐπὰν ὁ καιρὸς καὶ τὰ συμπίπτοντα
where to-be-ready when the occasion and the happenings
τοῦτο διδόασι, τὴν νίκην ἑαυτῷ πάντοσε περιποιούμενον.
this give the victory for-himself everywhere winning
καὶ τοῦτο γὰρ στρατηγῶν ἰδιαίτατον, ὅσαπερ ἴσμεν, μὴ
and this for of-generals most-proper as-many-as we-know not

μετὰ ξιφῶν καὶ μάχης μόνον, ἀλλὰ καὶ πρὸς σπονδὰς
with swords and battle only but also to treaties
τρεπομένων· καὶ ἄλλως ἔστιν οὗ ῥαδιουργοῦντα τὸν
turning and otherwise there-is where acting-craftily the
ἐχθρὸν καταγωνίζεσθαι, ὁπηνίκα καὶ τοιούτου καιρὸς παρῇ.
enemy to-overcome when also of-such occasion be-at-hand
ὁποῖον καὶ τότε ὁ αὐτοκράτωρ φαίνεται σκευωρήσας.
such-as also then the autocrat appears having-contrived
θέλων γὰρ διχόνοιαν ἐμβαλεῖν μεταξὺ τῶν τε κομήτων καὶ
wishing for discord to-throw between the both counts and
τοῦ Βαϊμούντου καὶ κατασεῖσαι οἷον τὸν πρὸς ἀλλήλους
— Bohemond and to-shake as-it-were the toward each-other
συνασπισμὸν ἢ διαρρῆξαι τοιοῦτόν τι δραματουργεῖ.
shield-locking or to-break-apart such something stages
μεταπεμψάμενος οὖν τὸν ἐκ Νεαπόλεως Μαρῖνον τὸν
having-summoned then the from Naples Marinos the
σεβαστόν (τῶν Μαϊστρομιλίων οὗτος ὑπῆρχε τὸ γένος·
sebastos of-the Maistromilioi this-man was the race
κἂν μὴ πάνυ τὸν πρὸς αὐτὸν ὅρκον ἀνόθευτον τότε
even-if not very the to him oath unadulterated then
ἐτήρει ἀπατηλοῖς ἐξαπατηθεὶς λόγοις καὶ ὑποσχέσεσιν,
kept by-deceitful having-been-deceived words and promises
ἀλλ' ὅσῳ γε τὰ πρὸς τὸν Βαϊμοῦντον ἀποκαλύψαι
but as-far-as at-least the(-things) toward — Bohemond to-reveal
αὐτῷ τὸ ἀπόρρητον τεθάρρηκεν), ἅμα δὲ καὶ τὸν
to-him the secret he-had-dared at-the-same-time and also —
Ῥογέρην (τῶν ἐπιφανῶν δὲ οὗτος Φράγγων) καὶ τὸν
Roger of-the illustrious and this-man Franks and —
Πέτρον Ἀλίφαν, ἄνδρα κατὰ πόλεμον περιβόητον καὶ τὴν
Peter Aliphas a-man in war renowned and the
ὡς πρὸς τὸν αὐτοκράτορα πίστιν ἀκράδαντον δι' ὅλου
as toward the autocrat faith unshaken through whole

τηρήσαντα. τούτους μετακαλεσάμενος βουλὴν ἐζήτει, ὅπως
having-kept these having-summoned counsel he-sought how
τὰ κατὰ τὸν Βαϊμοῦντον εὖ διαθέμενος καταγωνιεῖται
the(-things) concerning — Bohemond well having-arranged he-will-overcome
αὐτόν, ἀλλὰ καὶ περὶ τῶν εὐνουστέρων τῷ Βαϊμούντῳ
him but also about the more-loyal — to-Bohemond
καὶ ὁπόσους ἐκεῖνος ἰσοψύχους ἔχει διηρώτα. καὶ περὶ
and how-many he like-minded has he-asked and about
τούτων μαθὼν ἐξ αὐτῶν δεῖν ἔλεγεν ὑποποιήσασθαι
these having-learned from them to-be-needful he-said to-win-over
τούτους διὰ παντοίας μηχανῆς· "καὶ εἰ τοῦτο γένοιτο,
these by every device and if this should-happen
δι' ἐκείνων καὶ τὸ κοινὸν τοῦ Κελτικοῦ στρατεύματος
through those also the common(-body) of-the Celtic army
διαρραγήσεται εἰς διψυχίαν ἐμπεσόν." ἀνακοινοῦται
will-be-broken into double-mindedness having-fallen he-communicates
τοῦτο τοῖς ἤδη ῥηθεῖσι. καὶ ἐξ ἑκάστου τούτων ἕνα
this to-the already mentioned and from each of-these one
αἰτεῖται τῶν εὐνουστέρων θεραπόντων καὶ ἐχεμυθεῖν
he-asks of-the more-loyal servants and to-keep-silent
ἐπισταμένων. οἱ δὲ ἑτοίμως τοὺς κρείττονας τῶν ὑπηκόων
knowing they and readily the better of-the subjects
αὐτῷ ἔφησαν δοῦναι. καὶ ἐπειδὴ παρῆσαν οἱ ἄνθρωποι,
to-him they-said to-give and when were-present the men
δραματουργεῖ τι τοιοῦτον. γράμματα συνθέμενος
he-stages something such letters having-composed
ὥσπερ ἀμοιβαῖα πρός τινας τῶν ἀμφὶ τὸν Βαϊμοῦντον
as-if in-reply to some of-the about — Bohemond
οἰκειοτάτους, ὡς δῆθεν ἐκείνων γεγραφότων πρὸς τοῦτον
most-intimate as supposedly those having-written to him
καὶ οἰκειότητά τινα μνηστευομένων καὶ τὰ ἀπόρρητα τῆς
and intimacy some wooing and the secrets of-the

τοῦ τυράννου γνώμης ἐξαγορευόντων, πέμπει πρὸς αὐτοὺς
of-the tyrant mind divulging he-sends to them
ὥσπερ εὐχαριστηρίους λόγους συντάξας καὶ ἀποδεξάμενος
as-if of-thanks words having-composed and having-welcomed
τάχα τὴν τῶν ἀνδρῶν εὔνοιαν. ἦσαν δὲ οὗτοι ὅ τε Γίδος
supposedly the of-the men goodwill were and these — both Guy
ὁ τοῦ Βαϊμούντου αὐτάδελφος καί τις τῶν ἐνδοξοτάτων
the — of-Bohemond own-brother and a-certain of-the most-illustrious
ἀνδρῶν Κοπρισίανος καλούμενος καὶ πρὸς τούτοις ὁ
men Koprisianos called and besides these —
Ῥικάρδος καὶ τέταρτος ὁ Πριγκιπάτος, ἀνὴρ γενναῖος καὶ
Richard and fourth — Prinkipatos a-man noble and
τὰ πρῶτα φέρων ἐν τῇ στρατιᾷ τοῦ Βαϊμούντου, καὶ
the first(-place) holding in the army — of-Bohemond and
ἕτεροι πλείους τούτων. πρὸς οὓς τὰ ἐπίπλαστα γράμματα
others more than-these to whom the feigned letters
ἐξεπέμπετο. ἐκεῖθεν μὲν γὰρ οὐδὲν ἐδέδεκτο τοιοῦτον ὁ
were-sent from-there indeed for nothing had-received such the
βασιλεὺς οὔτε παρὰ Ῥικάρδου οὔτε παρ᾽ ἄλλου τινὸς
emperor neither from Richard nor from other any
τοιούτου εὔνοιαν καὶ πίστιν ὑπαγορεῦον γραμμάτιον· αὐτὸς
such goodwill and faith suggesting note he
δὲ ἀφ᾽ ἑαυτοῦ τὰ τοιαῦτα τῶν γραμμάτων ἐπλάττετο. εἶχε
and from himself the such(-ones) of-the letters forged had
δὲ νοῦν τοιοῦτον τὸ δραματούργημα, ὡς εἴπερ εἰς ἀκοὰς
and sense such the staged-trick that if into ears
εἰσέλθοι Βαϊμούντου ἡ τῶν ἀνδρῶν τοιούτων προδοσία καὶ
should-come of-Bohemond the of-the men such betrayal and
ὡς ἐκεῖνοι ἐκεῖθεν ἀποκοπέντες τῇ γνώμῃ τῷ μέρει τῷ
that they from-there cut-off in-the mind to-the side the
βασιλικῷ προσεχώρησαν, αὐτὸς μὲν εὐθὺς ταραχθήσεται
imperial had-gone-over he indeed at-once will-be-troubled

καὶ πρὸς τὴν βαρβαρικὴν φύσιν ἐπανελεύσεται, κακώσας
and to the barbarian nature will-return having-ill-treated
δὲ τοὺς ἄνδρας ἀπορραγῆναι τούτου καταναγκάσειε, καί,
and the men to-break-away from-him he-would-compel and
ὅπερ εἰς νοῦν οὐκ ἦλθεν αὐτοῖς, ἐκ τῆς κατασκευῆς Ἀλεξίου
which into mind not came to-them from the contrivance of-Alexios
ποιήσειαν πρὸς αὐτὸν στασιάσαντες. ἤδει γάρ, οἶμαι, ὁ
they-would-do against him having-rebelled knew for I-think the
στρατηγός, ὡς τὸ ἀντίπαλον ἅπαν φῦλον ξυγκροτούμενον
general that the opposing whole tribe welded-together
μὲν καὶ ἀλληλουχούμενον ἔρρωται, στασιάζον δὲ καὶ εἰς
indeed and holding-together is-strong rebelling and also into
πολλὰ μεριζόμενον ἀδρανέστερον γίνεται καὶ οὕτω τοῖς
many being-divided weaker becomes and thus to-the
πολεμοῦσιν εὐχείρωτον. ὅπερ καὶ βαθέως ἐπραγματεύετο
warring easy-to-subdue which also deeply he-was-working-at
καὶ τὸν δόλον ὑποβρύχιον εἶχε τὰ γράμματα. μεταχειρίζεται
and the deceit submerged had the letters manages
δὲ τὸ πρᾶγμα οὑτωσί πως ὁ Ἀλέξιος. πέμπει μὲν
and the affair thus somehow — Alexios sends indeed
γὰρ τὰ πεπλασμένα γράμματα πρὸς ἐκείνους παραγγείλας
for the forged letters to those having-ordered
ἐπιδοῦναι ἑκάστῳ ἕκαστον. εἶχε δὲ τὰ πεμπόμενα
to-hand to-each each had and the sent
βιβλία ἐκεῖνα οὐ μόνον εὐχαριστίαν, ἀλλὰ καὶ δόσεις
writings those not only thanks but also gifts
κατεπηγγέλλετο καὶ βασιλικὰς δωρεὰς καὶ ὑποσχέσεις
promised and imperial bounties and promises
ὑπερφυεῖς· ἐφεῖλκε δὲ τούτους καὶ εἰς τὸ μετέπειτα εἶναί
extraordinary drew and them also to the hereafter to-be
τε εὔνους καὶ φαίνεσθαι καὶ μηδὲν ἀποκρύπτειν τῶν
both loyal and to-appear and nothing to-hide of-the

ἀπορρήτων. κατόπιν δὲ τῶν πιστοτάτων αὐτῷ ἄνθρωπον
secrets behind and of-the most-trusted to-him a-man
ἀποστέλλει ἀνεπιφωράτως τούτοις παρέπεσθαι, καὶ ἐπειδὰν
he-sends undetected them to-follow and when
πλησιάσαντας ἴδοι, παρελάσαντα προφθῆναι τούτων
having-approached he-should-see having-ridden-past to-forestall their
τὴν ἔφοδον καὶ καταλαβόντα τὸν Βαϊμοῦντον τόν τε
the coming and having-reached — Bohemond the both
αὐτόμολον ὑποκριθῆναι καὶ εἰπεῖν, ὡς αὐτῷ προσχωρήσειε
deserter to-feign and to-say that to-him he-had-gone-over
μισήσας τὴν μετὰ τοῦ βασιλέως διατριβήν, φιλίαν δὲ
having-hated the with the emperor sojourn friendship and
πρὸς τὸν τύραννον προσποιούμενον καὶ ὡς δή τινα
toward the tyrant pretending and as forsooth some
εὔνοιαν κατειπεῖν ἀριδήλως τῶν ἀνδρῶν ἐκείνων, ἐφ' οὓς
goodwill to-denounce clearly the men those to whom
τὰ γράμματα, ὡς ἄρα ὁ δεῖνα καὶ ὁ δεῖνα, ὀνομαστὶ
the letters that after-all the so-and-so and the so-and-so by-name
τούτους καταριθμήσας, ἐξομοσάμενοι τὴν πρὸς ἐκεῖνον
them having-counted having-forsworn the toward him
πίστιν βασιλεῖ φίλοι καὶ εὖνοι γεγόνασι καὶ τὰ
faith to-the-emperor friends and loyal have-become and the(-things)
ἐκείνου φρονοῦσι, καὶ ὁρᾶν δεῖ, μή τι κατ' αὐτοῦ
his think and to-watch one-must lest something against him
δεινὸν μελετήσειαν ἐξ ὑπογύου καὶ πάλαι προεσκεμμένον·
terrible they-might-plot from sudden and long-ago pre-planned
ἀλλὰ δὴ καὶ τοῦτο πεπραγματεῦσθαι, ἵνα μή τι
but indeed also this to-have-been-managed that not something
δεινὸν τοῖς γραμματοκομισταῖς τούτοις ὁ Βαϊμοῦντος
terrible to-the letter-carriers these — Bohemond
ἐργάσηται. ἐμέλησε γὰρ καὶ τοῦτο τῷ βασιλεῖ, ὅπως τοὺς
might-do it-concerned for also this the emperor how the

μὲν καθέτους τούτους ἄνδρας ἀβλαβεῖς διατηρήσειε, τὰ
indeed agents these men unharmed he-might-keep the
δὲ κατὰ τὸν Βαϊμοῦντον πράγματα συνταράξειε. καὶ
and concerning — Bohemond affairs he-might-confound and
οὐκ εἶπε μὲν ταῦτα καὶ συμβεβούλευκεν, οὐ γέγονε δέ,
not said indeed these(-things) and advised not happened and
ἀλλὰ προσελθὼν καὶ δι᾽ ὅρκου λαβὼν τὸ ἀφρόντιστον
but having-come and through oath having-taken the immunity
τῶν γραμματοκομιστῶν ὁ εἰρημένος ἀνὴρ ἀπαγγέλλει
of-the letter-carriers the said man reports
πάντα κατὰ τὰς ὑποθημοσύνας τοῦ αὐτοκράτορος.
all according-to the instructions of-the autocrat
ἐρωτηθεὶς δὲ ὅπη τούτους στοχάζεται ἐφθακέναι, τὴν
being-asked and where them he-guesses to-have-arrived —
Πέτρουλαν αὐτοὺς ἔλεγε διελθεῖν. καὶ ἀποστείλας κατέσχε
Petroula them he-said to-have-passed and having-sent he-seized
τοὺς γραμματοκομιστὰς καὶ τὰ γράμματα ἀναπτύξας
the letter-carriers and the letters having-opened
ἰλίγγου τε πλήρης γεγονὼς μικροῦ κατέπιπτε πιστὰ
of-dizziness both full having-become almost fell trustworthy
λογισάμενος εἶναι. ἐκείνους μὲν οὖν παραφυλάττεσθαι
having-reckoned to-be them indeed then to-be-guarded
ᾠκονόμησεν, αὐτὸς δὲ ἀπρόιτος ταῖς σκηναῖς ἐν ἓξ
he-arranged he and not-going-out in-the tents for six
ἡμέραις ἦν γνωσιμαχῶν τὸ τί ἂν χρὴ ποιῆσαι,
days was deliberating the what — it-is-needful to-do
πολλοὺς παρ᾽ ἑαυτῷ ἀνελίττων λογισμούς, εἰ χρὴ
many by himself unrolling reasonings whether it-is-needful
παραστῆναι τοὺς κονοσταύλους καὶ πρὸς τὸν ἀδελφὸν
to-depose the constables and to the brother
αὐτοῦ Γίδον ἐξειπεῖν τὴν κατ᾽ αὐτοῦ δοθεῖσαν πρόληψιν
his Guy to-tell the against him given suspicion

καὶ εἰ μετὰ τὸν ἔλεγχον παραστῆναι χρὴ ἢ ἄτερ
and whether after the proof to-depose it-is-needful or without
ἐλέγχου, πρὸς τούτοις δὲ καὶ τὸ τίνας ἀντ᾽ αὐτῶν
proof in-addition-to these and also the whom instead-of them
κονοσταύλους ποιήσειε. γενναίους δὲ ὄντας τοὺς τοιούτους
constables he-might-make noble and being the such
κἀντεῦθεν πολλὴν τὴν βλάβην ἐσομένην παρασταλέντων
and-thence much the harm going-to-be when-removed
ὑπονοῶν, κατὰ τὸ ἐγχωροῦν τὰ κατ᾽ αὐτοὺς
suspecting according-to the possible the(-things) concerning them
οἰκονομήσας, οἶμαι δὲ καὶ τὸν κρυπτόμενον νοῦν τῶν
having-managed I-think and also the hidden sense of-the
γραμμάτων ὑποτοπάσας, μετεληλυθὼς εὐφυῶς τούτους καὶ
letters having-suspected having-handled cleverly them and
θαρσήσας ἐπὶ ταὐτοῦ μεμενηκέναι τούτους ξυνεχώρησεν.
having-taken-courage on the-same to-have-remained them allowed

Alexios' commanders hold every pass: Kekaumenos at Avlona, Hiericho, and Kanina, Kabasilas at Petroula, Nikerites at Deure, and Kamytzes in the Arbanon. Guided by local men, Guy attacks Kamytzes in front while his counts fall on him from behind, routing him and killing Karas and Skaliarios. Alyates is caught on marshy ground and killed by Kontopaganos. Kantakouzenos, sent to Glabinitza, nearly takes Mylos, but his men panic when scouts report Celts approaching; he burns his engines and the river boats and encamps by the Charzanes. Guy's detachment is beaten in the passes Kekaumenos holds.

Ὁ δὲ αὐτοκράτωρ, ἐπεὶ προφθάσας ἀξιόμαχον δύναμιν ἐν
the and autocrat since having-anticipated a-match-for-battle force in
πάσαις ταῖς κλεισούραις κατέθετο μετ' ἐκκρίτων ἡγεμόνων,
all the passes had-placed with picked leaders
πᾶσάν γε ἀτραπὸν διὰ τῶν καλουμένων ξυλοκλασιῶν
every at-least path through the called wood-cuttings
αὖθις τοῖς Κελτοῖς ἀπετάφρευσεν. εἶχε μὲν γὰρ εὐθὺς
again to-the Celts cut-off had indeed for at-once
ὁ Αὐλών, ἡ Ἱεριχὼ καὶ τὰ Κάνινα ἀνύστακτον φύλακα
— Avlona — Hiericho and — Kanina sleepless guard
Μιχαὴλ τὸν Κεκαυμένον, ἡ δὲ Πέτρουλα Ἀλέξανδρον τὸν
Michael the Kekaumenos — and Petroula Alexander the
Καβάσιλαν μετὰ συμμίκτων πεζῶν στρατιωτῶν, ἄνδρα
Kabasilas with mixed foot soldiers a-man
ἐκθυμότατον καὶ πολλοὺς τῶν κατὰ τὴν Ἀσίαν Τούρκων
most-spirited and many of-the in — Asia Turks
κατατροπωσάμενον· τὴν Δεύρην δὲ Λέων ὁ Νικερίτης μετὰ
having-routed — Deure and Leo the Nikerites with
ἀποχρώσης ἐφρούρει δυνάμεως· τῷ δέ γε Εὐσταθίῳ τῷ
sufficient guarded force — and at-least to-Eustathios the
Καμύτζῃ τὰς περὶ τὸ Ἄρβανον ἀνατεθείκει κλεισούρας. ὁ
Kamytzes the about — Arbanon he-had-entrusted passes —

δέ γε Βαϊμοῦντος ἐκ πρώτης, ὅ φασιν, ἀφετηρίας κατὰ
and at-least Bohemond from first as they-say starting-post against
τοῦ Καβασίλα τὸν ἀδελφὸν αὐτοῦ Γίδον καὶ κόμητά τινα
— Kabasilas the brother his Guy and count a-certain
Σαρακηνὸν καλούμενον καὶ τὸν Κοντοπαγάνον ἐξέπεμψεν.
Sarakenos called and — Kontopaganos sent-out
ἐπεὶ δέ τινα τῶν ὁμορούντων τῷ Ἀρβάνῳ πολίχνια
since and some of-the bordering — on-Arbanon little-towns
προέφθασαν τῷ Βαϊμούντῳ προσχωρῆσαι, οἱ τούτων
had-hastened — to-Bohemond to-go-over the their
ἔποικοι τὰς τοῦ Ἀρβάνου ἀτραποὺς ἀκριβῶς ἐπιστάμενοι
inhabitants the — of-Arbanon paths precisely knowing
προσελθόντες πᾶσαν, ὡς εἶχε, τῆς Δεύρης τὴν θέσιν
having-come every(-thing) as it-was — of-Deure the position
ἐξηγήσαντο καὶ τὰς λανθανούσας ἀτραποὺς ὑπέδειξαν.
explained and the hidden paths showed
τηνικαῦτα ὁ Γίδος διχῇ διελὼν τὸ στράτευμα αὐτὸς μὲν
then — Guy in-two having-divided the army he indeed
τὴν κατὰ πρόσωπον μετὰ τοῦ Καμύτζη μάχην ἀνεδέξατο,
the in face with — Kamytzes battle took-up
τὸν δέ γε Κοντοπαγάνον καὶ τὸν Σαρακηνὸν καλούμενον
— and at-least Kontopaganos and — Sarakenos called
κόμητα παρὰ τῶν Δευριωτῶν ὁδηγουμένους ἐξ ὀπισθίων τῷ
count by the Deuriots being-guided from behind —
Καμύτζῃ ἐπεισπεσεῖν ἐπέταξε. τούτου γοῦν συνδόξαντος
on-Kamytzes to-fall-upon ordered this at-any-rate having-been-agreed
ἀμφοῖν, ἐπεὶ ὁ μὲν Γίδος κατὰ πρόσωπον ἐμάχετο, οἱ
by-both when — indeed Guy in face fought the
δέ γε λοιποὶ κόμητες τῇ παρεμβολῇ τοῦ Καμύτζη
and at-least other counts on-the camp — of-Kamytzes
ἐπεισπεσόντες ἀπὸ τῶν μεταφρένων δεινὸν τὸν φόνον
having-fallen-upon from the backs terrible the slaughter

κατ᾽ αὐτοῦ ἀπειργάσαντο, ὡς οὐκ ἐνῆν αὐτῷ πρὸς
against him wrought since not it-was-possible for-him against
πάντας μάχεσθαι, τραπέντας τοὺς ὑφ᾽ ἑαυτὸν θεασάμενος
all to-fight routed the under himself having-beheld
συνείπετο τούτοις καὶ αὐτός. καὶ πίπτουσι μὲν τηνικαῦτα
followed them also he and fall indeed then
τῶν Ῥωμαίων πολλοὶ καὶ αὐτὸς ὁ Καρᾶς νηπιόθεν
of-the Romans many and himself — Karas from-infancy
τοῖς γνησίοις παρὰ τοῦ αὐτοκράτορος προσληφθεὶς
among-the genuine(-retainers) by the autocrat taken-up
καὶ καταλεγεὶς καὶ ὁ Σκαλιάριος Τοῦρκος τῶν ὀνομαστῶν
and enrolled and — Skaliarios Turk of-the renowned
πάλαι κατὰ τὴν ἕω ἡγεμόνων γεγονώς, αὐτομολήσας
long-ago in the east leaders having-been having-deserted
τῷ βασιλεῖ καὶ τοῦ ἁγίου βαπτίσματος τετυχηκώς. ἀλλὰ
to-the emperor and the holy baptism having-obtained but
ταῦτα μὲν τὰ κατὰ τὸν Καμύτζην· ὁ δέ γε
these(-things) indeed the(-things) concerning — Kamytzes — and at-least
Ἀλυάτης μετὰ καὶ ἑτέρων λογάδων τὴν Γλαβινίτζαν
Alyates with also other picked(-men) — Glabinitza
φυλάττων πρὸς τὴν πεδιάδα κατῆλθεν· εἴτε πρὸς πόλεμον
guarding to the plain went-down whether for war
εἴτε καὶ κατασκοπήσων τινὰ τόπου θέσιν, Θεὸς ἂν εἰδείη.
or also going-to-reconnoiter some of-place position God — may-know
τυχαίως δ᾽ οὖν συναντῶσι τούτῳ παραχρῆμα κατάφρακτοι
by-chance and then meet him immediately mail-clad
Κελτοὶ ἄνδρες γενναῖοι καὶ τηνικαῦτα διχῇ διαιρεθέντες οἱ
Celts men noble and then in-two divided the
μέν (πεντήκοντα δὲ τὸν ἀριθμὸν ἦσαν) κατὰ πρόσωπον
indeed fifty and the number were in face
αὐτοῦ σφοδρᾷ τῇ ῥύμῃ ἵενται ὅλους χαλάσαντες χαλινούς, οἱ
his with-violent the rush charge whole having-slackened reins the

δέ γε λοιποὶ ἐξ ὀπισθίων ἀψοφητὶ τούτῳ παρείποντο. ἦν
and at-least rest from behind noiselessly him followed was
γὰρ ἑλώδης ὁ τόπος. ὁ δὲ Ἀλυάτης τῆς τῶν ὄπισθεν
for marshy the place — and Alyates of-the of-the(-men) behind
μὴ αἰσθόμενος ἐλεύσεως, ἀλλὰ κατὰ τῶν ἔμπροσθεν
not having-perceived coming but against the(-men) in-front
ὅλῃ γνώμῃ ἀγωνιζόμενος καὶ χειρὶ λέληθεν
with-whole mind contending and hand has-escaped-the-notice-of
ἑαυτὸν εἰς κίνδυνον συνελάσας. ἐπεισπεσόντες γὰρ τούτῳ
himself into danger having-driven having-fallen-upon for him
οἱ ἐξ ὀπισθίων ἐρχόμενοι καρτερῶς κατ' αὐτοῦ
the(-men) from behind coming strongly against him
ἐμάχοντο. συναντήσας δὲ τούτῳ κόμης τις Κοντοπαγάνος
fought having-met and him count a-certain Kontopaganos
καλούμενος βάλλει τοῦτον διὰ τοῦ δόρατος· καὶ παραχρῆμα
called strikes him with the spear and immediately
ἄπνους κατὰ γῆς ἔκειτο. πίπτουσι δὲ καὶ τῶν σὺν
breathless on earth lay fall and also of-the with
αὐτῷ οὐκ ὀλίγοι. ταῦτα μεμαθηκὼς ὁ αὐτοκράτωρ τὸν
him not few these(-things) having-learned the autocrat —
Καντακουζηνὸν μετεπέμψατο, ἄνδρα τοῦτον γινώσκων περὶ
Kantakouzenos summoned man this knowing about
τὰς στρατιωτικὰς ἐγχειρήσεις ἱκανώτατον. ἔφθασε γάρ, ὡς
the military undertakings most-capable had-arrived for as
ἔφην, καταλαβεῖν τὸν αὐτοκράτορα εἰς τόπον μετακληθεὶς
I-said to-reach the autocrat at place summoned
ἀπὸ Λαοδικείας. ἐπεὶ δ' ἀναβολὴν τὰ κατὰ τὸν
from Laodikeia since and delay the(-things) concerning —
Βαϊμοῦντον οὐκ εἶχεν, ἀξιόμαχον στρατὸν μετ' αὐτοῦ
Bohemond not had a-match-for-battle army with him
συνεκπέμπει καὶ τῆς παρεμβολῆς ἔξεισι προεκπέμπων
he-sends-out and from-the camp goes-out sending-ahead

οἷον καὶ πρὸς μάχας ὀτρύνων αὐτόν. ἐφθακὼς δὲ
as-it-were and to battles urging him having-reached and
τὴν κλεισούραν τὴν ἐγχωρίως οὕτω καλουμένην Πέτραν
the pass the locally thus called Petra
καὶ αὐτοῦ που ἐγκαρτερήσας πολλοῖς τε λογισμοῖς
and there somewhere having-stayed with-many both reasonings
καὶ στρατηγικοῖς ἐπιχειρήμασιν ἐφοδιάσας αὐτὸν καὶ
and strategic stratagems having-supplied him and
τὰ λῴονα ὑποθέμενος πρὸς Γλαβινίτζαν χρησταῖς
the better(-things) having-suggested to Glabinitza with-good
ἐλπίσι θαρσύνας ἐκπέμπει, ἐκεῖνος δὲ πρὸς Διάβολιν
hopes having-encouraged sends-out he and to Diabolis
ἐπανέστρεψεν. ὁ δὲ Καντακουζηνὸς προσπελάσας ἐν τῷ
returned — and Kantakouzenos having-approached in the
ἀπέρχεσθαι πολιχνίῳ τινί, τῷ τοῦ Μύλου καλουμένῳ,
going-off little-town some the — of-Mylos called
παραχρῆμα παντοίας κατασκευάσας ἑλεπόλεις ἐπολιόρκει
immediately all-kinds having-built siege-engines besieged
τὸ πολίχνιον. καὶ οἱ Ῥωμαῖοι ἀναισχύντως τοῖς τείχεσι
the little-town and the Romans shamelessly to-the walls
προσεπέλαζον καὶ οἱ μὲν πῦρ ἐνιέντες τὰς πύλας
drew-near and the(-ones) indeed fire putting-in the gates
ἐνεπίπρων, οἱ δὲ καὶ διὰ τοῦ τείχους εἰς τὰς
set-on-fire the(-others) and also through the wall to the
ἐπάλξεις θᾶττον ἀνήεσαν. αἰσθόμενοι δ' οἱ πέραθεν τοῦ
battlements more-quickly went-up having-perceived and the beyond the
ποταμοῦ, τοῦ οὑτωσὶ καλουμένου Βούση, αὐλιζόμενοι Κελτοὶ
river the thus called Bouses encamped Celts
ὡς πρὸς τὸ τοῦ Μύλου καστέλλιον ἔθεον. οὓς θεασάμενοι
as toward the — of-Mylos fort ran whom having-beheld
οἱ τοῦ Καντακουζηνοῦ σκοποί (βάρβαροι δὲ ἦσαν, ὡς ὁ
the — of-Kantakouzenos scouts barbarians and they-were as the

λόγος φθάσας ἐδήλωσεν) ἐπανατρέχουσιν ἀσυντάκτως
account having-anticipated showed run-back without-order
πρὸς αὐτὸν καὶ οὐ μυστηριωδῶς περὶ τῶν φανέντων
to him and not mysteriously about the(-things) having-appeared
κατήγγελλον, ἀλλὰ πόρρω που φωνοῦντες τὴν τούτων
reported but far somewhere shouting the their
ἔφοδον ἔλεγον. ἀκούσαντες δὲ οἱ στρατιῶται τὴν τῶν
attack said having-heard and the soldiers the of-the
Κελτῶν ἔφοδον, κἂν τῶν τειχῶν ὑπερέβησαν, κἂν
Celts attack even-though the walls they-had-scaled even-though
τὰς πύλας ἐνέπρησαν, κἂν ἐν χερσὶ τοῦτο κατέχοντες
the gates they-had-burned even-though in hands it holding
ἦσαν ἤδη, ἀλλ' ἐκδειματωθέντες ἕκαστος πρὸς τὸν ἴδιον
they-were already but terrified each to the own
ἀπέτρεχεν ἵππον· ἔμφοβοι δὲ ὄντες καὶ συγχυθέντες τὸν
ran-off horse fearful and being and confounded in-the
νοῦν θάτερος θατέρου ἵππου ἐπέβαινε. πολλὰ γοῦν ὁ
mind the-one of-the-other horse mounted much at-any-rate —
Καντακουζηνὸς ἀγωνισάμενος καὶ πολλὰς ἱππασίας κατὰ
Kantakouzenos having-contended and many ridings against
τῶν ἐκδειματωθέντων ποιήσας "ἀνέρες ἔστε", φωνῶν
the terrified having-made men be shouting
κατὰ τὸν ποιητήν "μνήσθητε θούριδος ἀλκῆς", ὡς οὐκ
according-to the poet remember furious valor when not
ἔπειθεν, εὐφυῶς τούτους τῆς πτοίας ἀνήνεγκε φάμενος
he-persuaded cleverly them from-the panic he-recovered saying
ὡς "οὐ χρὴ τὰς ἑλεπόλεις καταλιπεῖν τοῖς ἐχθροῖς
that not it-is-needful the siege-engines to-leave to-the enemies
καθ' ἡμῶν ὄργανα, ἀλλὰ πῦρ εἰς αὐτὰς ἐμβαλεῖν κᾆθ'
against us instruments but fire into them to-throw and-then
οὕτως εὐσυντάκτως ὑποχωρεῖν". παραχρῆμα γοῦν μάλα
thus in-good-order to-withdraw immediately at-any-rate very

προθύμως ἐπλήρουν οἱ στρατιῶται τὸ προσταττόμενον καὶ
eagerly fulfilled the soldiers the ordered(-thing) and
οὐ τὰς ἑλεπόλεις μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν ποταμὸν
not the siege-engines only but also the along the river
Βούσην ἱστάμενα πλοῖα ἐνέπρησαν, ὡς μὴ ῥᾳδίως οἱ
Bouses lying boats they-burned so-that not easily the
Κελτοὶ διαπερᾶν ἔνθεν ἔχοιεν. αὐτὸς δὲ ἀναποδίσας
Celts to-cross from-there might-be-able he and having-gone-back
μικρὸν καὶ πεδιάδι τινὶ ἐντυχὼν δεξιόθεν μὲν τὸν
a-little and on-a-plain some having-come-upon on-the-right indeed the
καλούμενον Χαρζάνην ποταμὸν ἐχούσῃ, ἐξ εὐωνύμου δὲ
called Charzanes river having from left and
ἑλώδη τινὰ τόπον καὶ βαλτώδη καὶ συγχρησάμενος τούτοις
marshy some place and swampy and having-used these
ὡς ὀχυρώμασιν αὐτοῦ που τὸν χάρακα ἐπήξατο. οἱ δὲ
as defenses there somewhere the palisade pitched the and
ῥηθέντες Κελτοὶ παρὰ τῷ χείλει τοῦ ποταμοῦ γενόμενοι
mentioned Celts by the bank of-the river having-come
τῶν πλοίων ἤδη προεμπρησθέντων ἀστοχήσαντες τῶν
the boats already burned-beforehand having-missed the
ἐλπίδων κεχηνότες ὑπέστρεφον. ὁ δὲ τοῦ Βαϊμούντου
hopes gaping returned the and — of-Bohemond
ἀδελφὸς Γίδος τὰ ξυμβάντα πυθόμενος παρ' αὐτῶν
brother Guy the(-things) happened having-learned from them
ἄλλην ἐτράπετο καὶ στρατιώτας γενναίους τῶν ὑπ'
another(-way) turned and soldiers noble of-the under
αὐτὸν διελόμενος πρὸς Ἰεριχὼ καὶ τὰ Κάνινα ἐξέπεμψε.
him having-detached to Hiericho and — Kanina sent-out
καταλαβόντες οὖν τὰ ὑπὸ τοῦ Κεκαυμένου Μιχαὴλ
having-reached then the by — Kekaumenos Michael
τηρούμενα τέμπη (ἐκεῖνον γὰρ φύλακα τούτων ἐπέστησεν
guarded valleys him for guard of-these had-set

ὁ αὐτοκράτωρ) καὶ συμμάχῳ τῷ τόπῳ χρησάμενοι καὶ
the autocrat and as-ally the place having-used and
θαρρήσαντες τρέπουσι ξυμβαλόντες κατὰ κράτος. ἀνὴρ
having-taken-courage rout having-engaged by force man
γὰρ Κελτός, ἐπὰν ἐν στενωπῷ τοῖς ἐχθροῖς ἐντύχοι,
for Celtic when in a-narrow-pass the enemies he-meets
ἀκάθεκτος γίνεται, ὥσπερ ἐν πεδιάσι λίαν εὐάλωτος.
irresistible becomes as in plains very easy-to-take

XXVII · KANTAKOUZENOS VICTORIOUS

Kantakouzenos crosses the river by night and draws up his line. The Scythians and Turks give way, and Rosmikes' Alans fall back, but Kantakouzenos charges the Celts' front himself and routs them to Mylos, sending Hugh and Kontopaganos to the emperor. Anna, writing by lamplight, apologizes for the barbarian names. Bohemond's raiders at Avlona are beaten by Beroites, and six thousand more are surprised at dawn resting by the Bouses river. A giant cousin of Bohemond is led in bound by a pygmy Scythian, to the laughter of the court.

Θαρσήσαντες οὖν ὡς πρὸς τὸν Καντακουζηνὸν αὖθις
having-taken-courage then as toward — Kantakouzenos again
ἐπανατρέχουσιν. ἐπεὶ δὲ τὸν τόπον, οὗπερ ἔφθασεν
they-run-back since and the place where had-been-first
ὁ Καντακουζηνός, ὡς εἴπομεν, τὸν χάρακα πήξασθαι,
— Kantakouzenos as we-said the palisade to-pitch
μὴ προσβοηθοῦντα τούτοις ἐγνώκεσαν, δειλιάσαντες
not helping them they-had-learned having-turned-coward
ἀνεβάλοντο τὴν μάχην. ὁ δὲ αὐτῶν αἰσθόμενος τῆς
put-off the battle he and their having-perceived the
ἐφόδου δι' ὅλης νυκτὸς ξυμπάσῃ στρατιᾷ τὴν τοῦ
attack through whole night with-all army the of-the

ποταμοῦ περαίαν κατέλαβεν. ἡλίου δὲ τοῦ ὁρίζοντος
river opposite-bank reached the-sun and the horizon
μήπω ὑπερκύψαντος αὐτός τε θωρακισάμενος καὶ ἅπαν
not-yet having-peeped-over he both having-put-on-his-breastplate and all
ὁπλίσας τὸ στράτευμα τὴν μέσην τῆς παρατάξεως εἶχε
having-armed the army the middle of-the battle-line held
χώραν προμετώπιος, οἱ δὲ Τοῦρκοι ἐξ εὐωνύμου· ὁ δέ
place in-front the and Turks from left the and
γε Ἀλανὸς Ῥωσμίκης τὸ δεξιὸν διεῖπε κέρας μετὰ τῶν
at-least Alan Rosmikes the right commanded wing with the
ὑπ᾽ αὐτὸν ὁμοχθόνων. τοὺς δὲ Σκύθας προεξέπεμψε κατὰ
under him countrymen the and Scythians he-sent-ahead against
τῶν Κελτῶν ἐντειλάμενος δι᾽ ἀκροβολισμοῦ ἐπισπᾶσθαι
the Celts having-enjoined through skirmishing to-draw-out
τούτους καὶ βάλλειν μὲν συχνῶς, ὑπεκφεύγειν δὲ αὖθις καὶ
them and to-shoot indeed frequently to-flee and again and
παλιμπορεύτους γίνεσθαι. καὶ οἱ μὲν προθύμως ἀπῄεσαν,
turned-back to-become and they indeed eagerly went-off
ἤνυσαν δὲ οὐδαμῶς, ἐπείπερ οἱ Κελτοὶ συνησπικότες
accomplished and in-no-way since the Celts with-shields-locked
οὐδ᾽ ὅλως τὴν παράταξιν ἔλυον, ἀλλὰ βραδεῖ ποδὶ
not-even at-all the battle-line broke but with-slow foot
συντεταγμένως λίαν ᾔεσαν. ὡς δὲ κατὰ τὰ προσήκοντα
in-formation very went when and at the proper
μέτρα τῆς μάχης ἄμφω τὰ στρατεύματα ἐληλύθεσαν, οἱ
distances of-the battle both the armies had-come the
μὲν Σκύθαι οὐκέτι βάλλειν ὀϊστοὺς ἠδύναντο σφοδρᾷ τῇ
indeed Scythians no-longer to-shoot arrows could with-violent the
ῥύμῃ τῶν Κελτῶν κατ᾽ αὐτῶν ἐξιππασαμένων, ἀλλ᾽ ἐδίδουν
rush of-the Celts against them having-ridden-out but they-gave
εὐθὺς τοῖς Κελτοῖς τὰ μετάφρενα. τούτοις ἐπαμύνειν οἱ
at-once to-the Celts the backs them to-help the

Τοῦρκοι προθυμηθέντες προσέβαλον· καὶ οὐδὲ τούτων
Turks having-been-eager attacked and not-even of-them
λόγον ὅλως ποιησάμενοι οἱ Κελτοὶ ἐκθυμότερον ἐμάχοντο.
account at-all having-made the Celts more-passionately fought
ὁ δὲ Καντακουζηνὸς ἡττωμένους ἀπάρτι τούτους ὁρῶν τὸν
— and Kantakouzenos being-defeated now them seeing the
ἐξουσιοκράτορα Ῥωσμίκην τὸ δεξιὸν ἐπέχοντα κέρας μετὰ
ruler Rosmikes the right holding wing with
τῶν ὑπ᾽ αὐτόν (Ἀλανοὶ δὲ ἦσαν ἄνδρες μαχιμώτατοι)
the under him Alans and were men most-warlike
τὴν μετὰ τῶν Κελτῶν μάχην ἐπέτρεψεν. ἀλλὰ καὶ οὗτος
the with the Celts battle entrusted but also this-one
προσβαλὼν ὀπισθόπους ἐφαίνετο καίπερ ὡς λέων δεινῶς
having-attacked going-backward appeared although as a-lion terribly
κατ᾽ αὐτῶν βρυχώμενος. ὡς δὲ καὶ τοῦτον ἡττώμενον
against them roaring when and also this-one being-defeated
ὁ Καντακουζηνὸς ἐθεάσατο, ἐπιρρώσας ἑαυτὸν ὥσπερ
— Kantakouzenos saw having-braced himself as
ἐξ ὁρμητηρίου τινὸς κατὰ μέτωπον τῆς τῶν Κελτῶν
from base some against front of-the of-the Celts
παρατάξεως ἴεται καὶ εἰς μέρη πολλὰ διαλύσας τὸ
battle-line rushes and into parts many having-broken the
στράτευμα τρέπει τοὺς Κελτοὺς κατὰ κράτος διώξας
army routs the Celts by force having-pursued
ἄχρι πολιχνίου τοῦ καλουμένου Μύλου πολλοὺς μὲν
as-far-as a-little-town the called Mylos many indeed
τῆς δευτέρας τύχης καὶ τῶν μειζόνων ἀνελών, τινὰς
of-the second fortune and of-the greater having-killed some
δὲ καὶ τῶν ἐπιφανῶν κομήτων ζωγρήσας, τόν τε
and also of-the illustrious counts having-taken-alive — both
Οὖβον *** ἀδελφὸν Ῥιτζάρδον καλούμενον καὶ τὸν
Hugh (lacuna) brother Richard called and —

Κοντοπαγάνον, νικητὴς ὑπέστρεψεν. ἀκριβεστέραν τοίνυν
Kontopaganos victor he-returned more-exact therefore
τὴν νίκην τῷ βασιλεῖ παραστῆσαι βουλόμενος πολλῶν
the victory to-the emperor to-present wishing many
Κελτῶν κεφαλὰς τοῖς δόρασι περιπείρας καὶ τοὺς μείζονας
Celts' heads on-the spears having-impaled and the greater
τῶν κατασχεθέντων, Οὖβον καὶ τὸν Κοντοπαγάνον
of-the captured Hugh and — Kontopaganos
καλούμενον, παραχρῆμα ἐξέπεμψεν. ἐνταῦθα δὲ γενομένη
called immediately he-sent here and having-come
καὶ περὶ λύχνων ἁφὰς τὸν κάλαμον ἐπισύρουσα μικρὸν
and about of-lamps kindling the pen dragging a-little
πρὸς τὴν γραφὴν ἐπινυστάζουσα ἐπαισθάνομαι τοῦ λόγου
toward the writing nodding I-perceive the account
ἀπορρέοντος. ὅπου γὰρ βαρβαρικῶν ὀνομάτων ἐξ ἀνάγκης
flowing-away where for of-barbarian names of necessity
ἀπαιτεῖται χρῆσις καὶ ἀλλεπαλλήλων ὑποθέσεων διήγησις,
is-demanded use and of-successive matters narration
τὸ σῶμα τῆς ἱστορίας καὶ τὸ συνεχὲς τῆς γραφῆς κατ'
the body of-the history and the continuity of-the writing in
ἄρθρα ἔοικε διακόπτεσθαι· καὶ οὐ νέμεσις τοῖς γε
joints seems to-be-cut and not cause-for-blame for-the at-least
εὔνως ἐντυγχάνουσι τῇ γραφῇ. ὡς δὲ ὁ μαχιμώτατος
kindly reading the writing when and the most-warlike
Βαϊμοῦντος ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτὸν
Bohemond in strait utterly the(-affairs) concerning him
ἑώρα ἔκ τε θαλάσσης ἔκ τ' ἠπείρου βαλλόμενος, ὡς
saw from both sea from and mainland being-struck as
καὶ τῶν χρειωδῶν αὐτῷ ἐπιλειπόντων ἤδη πάντοθεν
also the needful(-things) to-him failing already from-everywhere
ἐξαπορούμενος, ἱκανὸν ἀποδιελὼν στράτευμα πρὸς τὰς
being-at-a-loss considerable having-detached army to the

κατὰ τὸν Αὐλῶνα καὶ τὴν Ἰεριχὼ καὶ τὰ Κάνινα
about — Avlona and — Hiericho and — Kanina
διακειμένας πόλεις πέπομφεν ἁπάσας λῄσασθαι. ἀλλ᾽ οὐδ᾽
lying cities sent all to-plunder but not-even
ὁ Καντακουζηνὸς ἠμέλει οὔτε νήδυμος ὕπνος ἔσχε τὸν
— Kantakouzenos neglected nor sweet sleep held the
ἄνδρα κατὰ τὸν ποιητήν, ἀλλὰ γοργῶς τὸν Βεροΐτην μετὰ
man according-to the poet but swiftly — Beroites with
ἀξιομάχου στρατιᾶς ἀντίπαλον τοῖς Κελτοῖς ἐξέπεμψεν.
a-match-for-battle army opponent to-the Celts sent-out
ἡττᾷ μὲν οὖν αὐτοὺς καταλαβὼν παραυτίκα καὶ οἷόν
defeats indeed then them having-overtaken immediately and as-it-were
τι πόρισμα τὰς τοῦ Βαϊμούντου ναῦς ἐν τῷ ἐπανέρχεσθαι
some windfall the — of-Bohemond ships in the returning
πυρπολήσας διεληλύθει. ὡς ἤσθητο δὲ ὁ τυραννικώτατος
having-burned he-had-gone-through when perceived and the most-tyrannical
Βαϊμοῦντος τῆς τῶν πεμφθέντων ἥττης, ὥσπερ μηδένα τοῦ
Bohemond the of-the sent(-men) defeat as-if none of-the
στρατεύματος ἀπολωλεκὼς κατέπιπτεν οὐδαμῶς· μᾶλλον
army having-lost he-fell-down in-no-way rather
μὲν οὖν καὶ θαρραλεώτερος ἐφαίνετο καὶ ἀποδιελόμενος
indeed then also bolder he-appeared and having-detached
αὖθις πεζοὺς καὶ ἱππεῖς πρὸς μάχας ἐκθυμοτάτους
again foot and horse for battles most-spirited
εἰς χιλιάδας ἓξ ποσουμένους κατὰ τοῦ Καντακουζηνοῦ
to thousands six numbering against — Kantakouzenos
ἐξαπέστειλεν οἰόμενος αὐτοβοεὶ αἱρήσειν σὺν τῷ Ῥωμαϊκῷ
sent thinking at-the-first-shout to-take with the Roman
στρατεύματι καὶ αὐτὸν τὸν Καντακουζηνόν. ἀλλ᾽ ἐκεῖνος
army also himself — Kantakouzenos but he
σκοποὺς ἀεὶ τοὺς ἐφεδρεύοντας τὰ Κελτικὰ πλήθη ἔχων
scouts always the lying-in-wait-for the Celtic multitudes having

μεμαθηκὼς τὴν αὐτῶν ἐπέλευσιν νυκτὸς τὴν στρατιωτικὴν
having-learned the their approach by-night the military
ὡπλίζετο πανοπλίαν καὶ ὥπλιζε τοὺς στρατιώτας
armed-himself-in panoply and armed the soldiers
σφαδάζων ἐπεισπεσεῖν αὐτοὺς κατὰ τὸ περίορθρον. ὡς
eager to-fall-upon them at the dawn when
δ' οἱ Κελτοὶ κεκοπιακότες παρὰ τῷ χείλει Βούση τοῦ
and the Celts having-grown-weary by the bank of-Bouses of-the
ποταμοῦ ῥᾳστώνης μικρᾶς ἕνεκα κατεκλίθησαν, αὐτοῦ
river of-ease small for-the-sake lay-down there
που καταλαμβάνει τούτους μειδιώσης ἀπάρτι τῆς ἡμέρας
somewhere overtakes them smiling just-now the day
καὶ παραχρῆμα ἐπιθέμενος πολλοὺς μὲν ζωγρίαν ἄγει,
and immediately having-attacked many indeed alive leads
πλείονας δὲ κτείνει· οἱ δέ γε λοιποὶ ταῖς δίναις τοῦ
more and kills the and at-least rest by-the eddies of-the
ποταμοῦ παρασυρέντες ἀπεπνίγησαν καὶ φεύγοντες λύκον
river swept-away were-drowned and fleeing a-wolf
περιέτυχον λέοντι. τοὺς μὲν οὖν κόμητας ἅπαντας πρὸς
fell-in-with a-lion the indeed then counts all to
τὸν αὐτοκράτορα ἐξέπεμψε κᾆθ' οὕτως ἀνέρχεται πρὸς
the autocrat sent and-then thus goes-up to
τὸν Τίμορον. τόπος δὲ οὗτος ἑλώδης καὶ δύσβατος. κεῖθι
— Timoros place and this marshy and impassable there
γοῦν ἑβδόμην ἡμέραν ἐγκαρτερήσας μετρητοὺς σκοποὺς
at-any-rate seventh day having-stayed counted scouts
ἐν διαφόροις ἐξέπεμπε τόποις περιαθρεῖν τὰ περὶ
in various sent places to-survey the(-things) about
τὸν Βαϊμοῦντον καὶ γλῶτταν αὐτῷ ἐκεῖθεν κομίσαι, ὡς
— Bohemond and a-tongue to-him from-there to-bring so-that
τὰ κατὰ τὸν Βαϊμοῦντον πυθόμενον ἀκριβέστερον
the(-things) concerning — Bohemond having-learned more-exactly

ἐγνωκέναι. ἐντυγχάνουσι δὲ τυχαίως οἱ πεμφθέντες Κελτοῖς
to-have-known meet and by-chance the sent(-men) Celts
ἑκατὸν σχεδίας εὐτρεπίζουσι, δι᾽ ὧν τὸν ποταμὸν
a-hundred rafts preparing through which the river
διανηξάμενοι τὸ πρὸς τὴν περαίαν διακείμενον πολίχνιον
having-swum-across the on the opposite-bank lying little-town
αἱρήσειν ἠβούλοντο. τούτοις ἀθρόον ἐπεισπεσόντες ζωγροῦσι
to-take they-wished them all-at-once having-fallen-upon take-alive
μικροῦ ἅπαντας καὶ αὐτὸν τὸν τοῦ Βαϊμούντου ἐξάδελφον
almost all and himself the — of-Bohemond cousin
εἰς δέκατον πόδα ἀνέλκοντα τὸ μέγεθος, εὐρὺν δὲ καθάπερ
to tenth foot drawing-up the size broad and as
τινὰ ἄλλον Ἡρακλῆν. καὶ ἦν ἰδεῖν καινόν τι, τὸν
some other Herakles and it-was to-see new something the
μέγαν ἐκεῖνον γίγαντα καὶ τῷ ὄντι πελώριον ὑπὸ
great that giant and in-the reality enormous by
πυγμαίου κατασχεθέντα Σκυθιδίου. παρεκελεύσατο δὲ
a-pygmy captured Scythian-mannikin ordered and
ὁ Καντακουζηνὸς τοὺς κατασχεθέντας ἀποστέλλων τὸν
— Kantakouzenos the captured(-men) sending the
πυγμαῖον Σκύθην δέσμιον τὸν πελώριον ἐκεῖνον εἰσάξαι τῷ
pygmy Scythian in-bonds the enormous that to-bring-in to-the
αὐτοκράτορι ἀστεϊζόμενος τάχα πρὸς τὸν αὐτοκράτορα.
autocrat jesting perhaps toward the autocrat
ὡς δὲ φθάσαντας τούτους ὁ βασιλεὺς μεμαθήκει, ἐπὶ τοῦ
when and having-arrived them the emperor had-learned on the
βασιλικοῦ προκαθίσας θρόνου ἐκέλευσεν εἰσάγεσθαι τοὺς
imperial having-sat-before throne he-ordered to-be-brought-in the
δεσμώτας· εἴσεισι δὲ καὶ ὁ Σκύθης μηδ᾽ ἄχρι γλουτοῦ
prisoners comes-in and also the Scythian not-even up-to buttock
φθάνων τοῦ γιγαντιαίου ἐκείνου Κελτοῦ δέσμιον τοῦτον
reaching of-the gigantic that Celt in-bonds him

ἐπαγόμενος. εὐθὺς οὖν γέλως πάντων ὦρτο πολύς. καὶ
bringing-in at-once then laughter of-all arose much and
τοὺς μὲν λοιποὺς κόμητας φρουρὰ διεδέξατο· ***.
the indeed rest counts prison received (lacuna)

XXVIII · THE STRAIT CLOSED

News comes of the slaughter of the units under Kamytzes and Kabasilas. Alexios sends Marianos Maurokatakalon to Petroula with a thousand men. Landulf writes that the Kontostephanoi neglect the strait, so that ships from Lombardy, sailing on the south wind, bring Bohemond men and supplies. Rebuked, Isaac twice fails against the wind, then moors where Alexios shows him and sinks a convoy in mid-strait. Alexios makes Marianos duke of the fleet, and he seizes the supply ships and closes the strait.

Οὔπω μικρὸν ἐπιμειδιάσαντος τοῦ αὐτοκράτορος ἐπὶ τῷ τοῦ
not-yet a-little having-smiled the autocrat at the —
Καντακουζηνοῦ κατορθώματι ἑτέρα τις ἀπόφημος κατέλαβεν
of-Kantakouzenos success another some ill-omened arrived
ἀγγελία φόνον ἀμύθητον τῶν μετὰ τοῦ Καμύτζη καὶ τοῦ
message slaughter untold of-the with — Kamytzes and —
Καβασίλα Ῥωμαϊκῶν ταγμάτων μηνύουσα. κατέπιπτε μὲν
Kabasilas Roman units reporting fell indeed
οὖν οὐδαμῶς ὁ αὐτοκράτωρ, καίτοι σφόδρα δηχθεὶς τὴν
then in-no-way the autocrat although very stung in-the
καρδίαν καὶ ἀνιώμενος ἐπιστενάζων τε τοῖς πεσοῦσιν,
heart and grieving groaning both over-the fallen
ἔστιν οὗ καὶ δακρύων τὰ καθ' ἕκαστον, ἀλλὰ
there-is where also weeping the(-things) in each but
Κωνσταντῖνον τὸν Γαβρᾶν, ἄνδρα ἀρηΐφιλον καὶ πῦρ
Constantine the Gabras a-man dear-to-Ares and fire

κατὰ τῶν ἐναντίων πνέοντα, μεταπεμψάμενος εἰς τὴν
against the opponents breathing having-summoned to the
οὕτω καλουμένην Πέτρουλαν ἀπέστειλε κατασκεψόμενον,
thus called Petroula sent going-to-find-out
ὅθεν οἱ Κελτοὶ εἰς τὰ τέμπη ἐμπεσόντες τὸν τοσοῦτον
whence the Celts into the valleys having-fallen the so-great
φόνον εἰργάσαντο, καὶ ἀποταφρεῦσαι τοῦ λοιποῦ τούτοις
slaughter wrought and to-cut-off for-the rest to-them
τὴν δίοδον. δυσχεραίνοντος δὲ τοῦ Γαβρᾶ καὶ πρὸς
the passage objecting and — Gabras and to
τὴν ἐπιχείρησιν οἷον ἀποκναίοντος (οἰηματίας γὰρ
the undertaking as-it-were shrinking conceited for
ὁ ἀνὴρ καὶ μεγάλοις ἐγχειρεῖν ἐφιέμενος πράγμασι)
the man and great to-undertake desiring affairs
Μαριανὸν τὸν Μαυροκατακαλὼν παραχρῆμα, τὸν ἐπ᾽
Marianos the Maurokatakalon immediately the on
ἀδελφῇ γαμβρὸν τοὐμοῦ καίσαρος, ἄνδρα ἀρειμάνιον καὶ
sister brother-in-law of-my caesar a-man warlike and
διὰ πολλῶν ἀνδραγαθημάτων τοῦτο παραστησάμενον
through many brave-deeds this having-proved
φιλούμενόν τε λίαν παρὰ τοῦ αὐτοκράτορος μετὰ χιλίων
loved both very by the autocrat with a-thousand
γενναιοτάτων ἀνδρῶν ἐκπέμπει. οἷς καὶ πολλοὺς τῶν
most-noble men sends-out with-whom also many of-the
τοῖς πορφυρογεννήτοις καὶ τῷμῷ καίσαρι ἐξυπηρετουμένων
the born-in-the-purple and my caesar serving
σφαδάζοντας πρὸς μάχην συγκαταλέξας ἐξέπεμψεν. ἐδεδίει
eager for battle having-enrolled-with he-sent-out feared
μέντοι πρὸς τοῦτο καὶ οὗτος, ἀλλ᾽ ὅμως σκοπήσων
however at this also this-one but nevertheless going-to-consider
εἰς τὴν ἰδίαν ἀπῄει σκηνήν. περὶ μέσας δὲ φυλακὰς τῆς
to the own went-off tent about middle and watches of-the

νυκτὸς γράμματα τοῦ Λαντούλφου κατέλαβε ξυνόντος τῷ
night letters — of-Landulf arrived being-with at-the
τότε μετὰ Ἰσαακίου τοῦ Κοντοστεφάνου θαλασσοκράτορος
then with Isaac the Kontostephanos sea-commander
τυγχάνοντος κατατρέχοντα αὐτῶν τε τῶν Κοντοστεφάνων
being running-down themselves both the Kontostephanoi
τοῦ τε Ἰσαακίου καὶ τοῦ αὐταδέλφου αὐτοῦ Στεφάνου
the both Isaac and the own-brother his Stephen
καὶ τοῦ Εὐφορβηνοῦ ὡς καταρρᾳθυμούντων τοῦ πορθμοῦ
and — Euphorbenos as neglecting the strait
Λογγιβαρδίας καὶ ἐξερχομένων ἐνίοτε πρὸς τὴν ἤπειρον
of-Lombardy and going-out sometimes to the mainland
χάριν ῥᾳστώνης, προσκειμένου τοῖς γράμμασιν ὅτι "κἂν
for-the-sake of-ease it-being-added to-the letters that even-though
σύ, βασιλεῦ, τὰς προνομὰς καὶ ἐκδρομὰς τῶν Κελτῶν
you emperor the forays and sallies of-the Celts
ὅλῃ χειρὶ καὶ γνώμῃ κωλύων ἦσθα, ἀλλὰ τούτων
with-whole hand and mind hindering were but these
ἀναπεπτωκότων καὶ ἐπινυσταζόντων ἔτι περὶ τὴν φυλακὴν
having-grown-slack and nodding still about the guard
τοῦ πορθμοῦ Λογγιβαρδίας σχολὴν ἐξ ἀνάγκης οἱ πρὸς
of-the strait of-Lombardy leisure of necessity the(-men) to
τὸν Βαϊμοῦντον διαπλωζόμενοι καὶ τὰ πρὸς χρείαν
— Bohemond sailing-across and the(-things) for need
κομίζοντες ἔχουσιν. οἱ γὰρ ἀπὸ Λογγιβαρδίας πρὸ
conveying have the(-men) for from Lombardy before
μικροῦ πρὸς τὸν Βαϊμοῦντον τὸν ἀπόπλουν ποιησάμενοι
little to — Bohemond the sailing having-made
τὸν ἐπιπνέοντα τούτοις εὔθετον ἐπιτηρήσαντες ἄνεμον
the blowing on-them suitable having-watched-for wind
(καὶ γὰρ νότοι μὲν εὐρεῖς εὔθετοι τοῖς ἀπὸ
and for south-winds indeed broad suitable to-the(-men) from

Λογγιβαρδίας πρὸς τὸ Ἰλλυρικὸν διαπλέουσίν εἰσιν, οἱ
Lombardy to — Illyricum sailing-across are the
δέ γε βορεῖς ἀνάπαλιν), πτερώσαντες τὰς ναῦς τοῖς
and at-least north-winds conversely having-winged the ships with-the
λαίφεσι τὸν πρὸς τὸ Ἰλλυρικὸν ἀπόπλουν τότε ἐθάρρησαν.
sails the to — Illyricum sailing then they-dared
σφοδρῶς δὲ ὁ νότος ἐπιπνέων προσορμίσαι μὲν εἰς τὸ
violently and the south-wind blowing to-moor indeed into —
Δυρράχιον οὐδαμῶς παρεχώρει, παραπλεῦσαι δὲ τὴν ᾐόνα
Dyrrachion in-no-way allowed to-sail-past and the shore
Δυρραχίου καὶ τὸν Αὐλῶνα καταλαβεῖν ἠνάγκασε. κεῖθι
of-Dyrrachion and — Avlona to-reach compelled there
δὲ τὰς μυριοφόρους ὁλκάδας προσορμίσαντες δυνάμεις
and the huge-burden merchantmen having-moored forces
τε πολλὰς ἐξ ἱππέων καὶ πεζῶν συνεπαγόμενοι καὶ τὰ
both many of horse and foot bringing-along and the
ζωαρκῆ ἅπαντα τῷ Βαϊμούντῳ προσαγηόχασι. κἀντεῦθεν
provisions all — to-Bohemond have-brought and-thence
πανηγύρεις πολλὰς συνεστήσαντο, ὡς ἀφθονώτερον
fairs many they-set-up so-that more-abundantly
ἐκεῖθεν οἱ Κελτοὶ τὰ πρὸς διοίκησιν ἐμπορεύωνται".
from-there the Celts the(-things) for administration might-trade
ὁ δὲ βασιλεὺς θυμοῦ πλησθεὶς τὸν Ἰσαάκιον πολλὰ
the and emperor with-anger having-been-filled — Isaac much
κατεμέμψατο καὶ ἀπειλησάμενος, εἰ μὴ διορθώσοιτο,
blamed and having-threatened if not he-should-amend
ἀνυστάκτως ἐγρηγορέναι ἀνέπεισεν. ἐπεὶ δὲ μὴ τὰ
sleeplessly to-be-awake persuaded since and not the(-things)
κατὰ γνώμην τῷ Κοντοστεφάνῳ ἐπεραίνετο (καὶ γὰρ
according-to mind — for-Kontostephanos was-accomplished and for
ἅπαξ καὶ δὶς ἐπιχειρήσας τοὺς ἐκεῖθεν πρὸς τὸ Ἰλλυρικὸν
once and twice having-attempted the(-men) from-there to — Illyricum

διαπερῶντας ἀπεῖρξαι ἡμάρτανε τοῦ σκοποῦ· μέσον γὰρ
crossing to-keep-off he-missed the aim middle for
τοῦ πορθμοῦ καταλαμβάνων, ἐπεὶ τοὺς Κελτοὺς ἐξ οὐρίας
of-the strait reaching since the Celts with fair-wind
πλέοντας ἑώρα τά θ' ἱστία ἀναπετάσαντας καὶ σφοδρὸν
sailing he-saw the both sails having-spread and violent
τὸν ἀπόπλουν ποιουμένους, οὐχ οἷός τε ἦν πρὸς τοὺς
the sailing making not able — he-was against the
Κελτοὺς ἅμα καὶ τοὺς ἀνέμους ἀπομάχεσθαι κατὰ
Celts at-the-same-time and the winds to-fight-off against
πρώραν τοῦ πνεύματος ἱσταμένου· οὐδὲ γὰρ τὸν Ἡρακλέα
prow the wind standing not-even for — Herakles
πρὸς δύο φασί· τῇ βίᾳ τοίνυν τοῦ πνεύματος παλίορσος
against two they-say by-the force therefore of-the wind turned-back
ἐγίνετο), ἐπὶ τούτοις ὁ αὐτοκράτωρ διεπρίετο· διαγνοὺς
he-became at these the autocrat was-sawn-through having-discerned
δέ, ὅτι οὐχ ὅπη προσήκει τὸν Ῥωμαϊκὸν στόλον ὁ
and that not where it-is-fitting the Roman fleet —
Κοντοστέφανος προσώρμισε καὶ διὰ τοῦτο αὐτὸν οἱ
Kontostephanos had-moored and because-of this him the
νότοι ἀπείργουσιν εὔθετον τοῖς Κελτοῖς μᾶλλον τὸν πλοῦν
south-winds keep-off suitable to-the Celts rather the voyage
παρεχόμενοι, διαγράψας τὴν τῆς Λογγιβαρδίας ᾐόνα καὶ
providing having-drawn the — of-Lombardy shore and
τοῦ Ἰλλυρικοῦ καὶ τοὺς παρ' ἑκάτερα διακειμένους λιμένας
— of-Illyricum and the on both-sides lying harbors
ἀπέστειλε τῷ Κοντοστεφάνῳ ὑποδείξας ἐν γράμμασι,
sent — to-Kontostephanos having-shown in letters
καὶ ὅπη δεῖ προσορμίσαι τὰς ναῦς καὶ ὅθεν οὐρίου
also where it-is-needful to-moor the ships and whence fair
τύχοι τοῦ πνεύματος κατὰ τῶν διαπλωζομένων Κελτῶν
he-might-get the wind against the sailing-across Celts

ἐξορμῶν. ἀνέρρωσέ τε αὖθις τὸν Κοντοστέφανον καὶ ἔργου
setting-out strengthened both again — Kontostephanos and work
ἅψασθαι ἀνέπεισεν. ἀνακτησάμενος οὖν ἑαυτὸν ὁ Ἰσαάκιος
to-take-up persuaded having-recovered then himself — Isaac
καὶ καταλαβὼν οὗπερ ὁ αὐτοκράτωρ αὐτῷ παρεκελεύσατο
and having-reached where the autocrat him ordered
τὰς ναῦς προσώκειλε. καὶ καιρὸν ἐπιτηρήσας, ὁπηνίκα
the ships put-in and occasion having-watched-for when
οἱ ἀπὸ Λογγιβαρδίας μετὰ πολλῆς παρασκευῆς πρὸς
the(-men) from Lombardy with much equipment to
τὸ Ἰλλυρικὸν τὸν ἀπόπλουν ἐποιοῦντο, ἀνέμου δεξιοῦ
— Illyricum the sailing made wind favorable
τηνικαῦτα ἐπιπνέοντος δέχεται τούτους τοῦ πορθμοῦ
then blowing receives them of-the strait
μέσον καί τινα μὲν τῶν λῃστρικῶν πλοίων πυρίκαυστα
in-the-middle and some indeed of-the pirate ships burnt
πεποίηκε, πλείω δὲ καὶ αὖτανδρα τῷ βυθῷ παρέπεμψεν.
made more and also with-their-crews to-the deep sent
οὔπω ταῦτα μεμαθηκὼς ὁ βασιλεύς, ἀλλὰ πρὸς
not-yet these(-things) having-learned the emperor but to
τὰ παρὰ τοῦ Λαντούλφου γραφέντα καὶ αὐτοῦ
the(-things) by — Landulf written and himself
δουκὸς Δυρραχίου ἐγκείμενον ἔχων τὸν νοῦν, ἑτέρου
duke of-Dyrrachion set having the mind of-other
λογισμοῦ γεγονὼς παραχρῆμα τὸν ἤδη ῥηθέντα Μαριανὸν
reasoning having-become immediately the already mentioned Marianos
τὸν Μαυροκατακαλὼν μεταπεμψάμενος ἐκεῖθεν δοῦκα
the Maurokatakalon having-summoned from-there duke
τοῦ στόλου προχειρίζεται, τὰ δὲ τῆς Πετρούλας
of-the fleet appoints the(-things) and — of-Petroula
ἑτέρῳ ἀνατίθησιν. οὗτος οὖν ἀπελθὼν καὶ κατά τινα
to-another entrusts this-one then having-gone and by some

συντυχίαν εὐθὺς ἐντυχὼν ταῖς ἀπὸ Λογγιβαρδίας πρὸς τὸν
chance at-once having-met the from Lombardy to —
Βαϊμοῦντον διαπλῳζομέναις ληστρικαῖς καὶ φορτηγοῖς ναυσὶ
Bohemond sailing-across pirate and cargo ships
κατέσχεν ἁπάσας πλήρεις παντοίων ἐδωδίμων. καὶ τοῦ
seized all full of-all-kinds foods and for-the
λοιποῦ ἄγρυπνος φύλαξ τοῦ ἀναμεταξὺ Λογγιβαρδίας καὶ
rest sleepless guard of-the between Lombardy and
Ἰλλυρικοῦ πορθμοῦ τυγχάνων οὐ συνεχώρει τὸ παράπαν
Illyricum strait being not allowed the at-all
τοῖς Κελτοῖς τὸν πρὸς τὸ Δυρράχιον ἀπόπλουν.
to-the Celts the to — Dyrrachion sailing

XXIX · BOHEMOND ASKS FOR PEACE

From Diabolis Alexios directs the commanders in the passes, telling the archers to shoot the horses, since a Celt in mail with his long shield is proof against arrows but helpless once unhorsed. He will not fight in the open, knowing the treachery among his own. Bohemond, hemmed in by land and sea and losing his foragers, asks the duke of Dyrrachion for peace, and William Klareles deserts with fifty horses. Alexios has the duke answer that he may come to talk and return unharmed.

Ὁ δέ γε αὐτοκράτωρ περὶ τοὺς πρόποδας τῶν
the and at-least autocrat about the foothills of-the
κλεισουρῶν καὶ κατὰ τὴν Διάβολιν αὐλιζόμενος ἀπεῖργε
passes and at — Diabolis encamped kept-off
μὲν τοὺς προσχωρῆσαι τῷ Βαϊμούντῳ ὠδίνοντας, ὡσεὶ
indeed the(-men) to-go-over — to-Bohemond being-in-labor like
νιφετοὺς δὲ πρὸς τοὺς τὰς κλεισούρας τηροῦντας
snowflakes and to the(-men) the passes guarding
ἐξέπεμπεν ἑκάστῳ ὑποτιθέμενος, ὁπόσους εἰς τὴν πεδιάδα
he-sent to-each suggesting how-many to the plain

Δυρραχίου ἐξαποστέλλειν κατὰ τοῦ Βαϊμούντου καὶ ὁποῖον
of-Dyrrachion to-send-out against — Bohemond and of-what-sort
τὸ τοῦ πολέμου σχῆμα διατυποῦν τοὺς κατερχομένους
the of-the war form to-arrange the(-men) going-down
χρὴ ἐν τῷ μάχεσθαι, τὰ πλεῖστά τε προτρέχειν
it-is-needful in the fighting the most both to-run-forward
τοῖς ἵπποις καὶ αὖθις ἀνθυπονοστεῖν καὶ οὕτω πάλιν
on-the horses and again to-return and thus again
καὶ πάλιν ποιοῦντας διὰ τῆς τοξείας μάχεσθαι, τοὺς
and again doing through the archery to-fight the(-men)
δὲ τὰ δόρατα φέροντας ὄπισθεν αὐτῶν βραδεῖ ποδὶ
and the spears carrying behind them with-slow foot
στείχειν, ἵν' εἴ που γένηται τοῖς τοξόταις πλέον
to-march that if somewhere it-should-happen to-the archers more
τοῦ δέοντος πρὸς τὰ ὄπισθεν παρασυρῆναι, δέχωνται
than-the needful to the rear to-be-swept-back they-might-receive
τούτους, ἅμα δὲ καὶ τὸν εἰς χεῖρας τούτων ἴσως
them at-the-same-time and also the into hands their perhaps
ἐλθόντα Κελτὸν πλήττοιεν. ἐπεχορήγει δὲ δαψιλῆ τούτοις
having-come Celt they-might-strike he-supplied and abundant to-them
τὰ βέλη παρακελευόμενος μὴ φείδεσθαι τούτων ὅλως, ἀλλὰ
the arrows urging not to-spare them at-all but
κατὰ τῶν ἵππων μᾶλλον ἢ τῶν Κελτῶν ἐπιτοξάζεσθαι,
against the horses rather than the Celts to-shoot
τοῦτο μὲν εἰδὼς ὅτι ὅσον ἐπὶ τοῖς θώραξι καὶ τοῖς
this indeed knowing that as-much on the breastplates and the
σιδηροῖς χιτῶσι δύστρωτοι ἦσαν ἢ καὶ παντάπασιν
iron tunics hard-to-wound they-were or even entirely
ἄτρωτοι. βάλλειν οὖν εἰς μάτην καὶ πάντη ἀνόητον ᾤετο.
unwoundable to-shoot then in vain and wholly foolish he-thought
ὅπλον γὰρ Κελτικὸν χιτών ἐστι σιδηροῦς κρίκος ἐπὶ
weapon for Celtic a-tunic is iron ring on

κρίκῳ περιπεπλεγμένος καὶ τὸ σιδήριον ἀγαθοῦ σιδήρου,
ring interwoven and the iron of-good iron
ὥστε καὶ βέλος ἀπώσασθαι ἱκανὸν καὶ τὸν χρῶτα
so-that both arrow to-repel able and the flesh
φυλάξαι τοῦ στρατιώτου. προσθήκη δὲ τῆς φυλακῆς
to-guard of-the soldier addition and of-the guard
καὶ ἀσπὶς οὐ περιφερής, ἀλλὰ θυρεὸς ἀπὸ πλατυτάτου
also shield not round but long-shield from very-broad
ἀρξάμενος καὶ εἰς ὀξὺ καταλήγων καὶ τἄνδον ἠρέμα
having-begun and to point ending and the-inside gently
ὑποκοιλαινόμενος, λεῖος δὲ καὶ στίλβων κατὰ τὴν ἔξωθεν
hollowed smooth and also gleaming on the outer
ἐπιφάνειαν καὶ ἐπ᾽ ὀμφαλῷ χαλκοχύτῳ μαρμαίρων. βέλος
surface and on boss bronze-cast flashing arrow
τοίνυν, κἂν Σκυθικὸν εἴη, κἂν Περσικόν, κἂν ἀπὸ
therefore even-if Scythian it-be even-if Persian even-if from
βραχιόνων ἀπορριφείη γιγαντικῶν, ἐκεῖθεν ἀποκρουσθὲν
arms should-be-hurled gigantic from-there having-been-beaten-back
παλινδρομήσειε πρὸς τὸν πέμψαντα. διὰ ταῦτα τοίνυν
would-run-back to the sender because-of these(-things) therefore
ἔμπειρος ὢν οἶμαι ὁ βασιλεὺς τῶν Κελτικῶν ὅπλων καὶ
experienced being I-think the emperor of-the Celtic arms and
τῶν ἡμετέρων τοξευμάτων ἀφεμένους τῶν ἀνδρῶν τοῖς
of-the our arrows having-let-go the men the
ἵπποις μᾶλλον ἐπιθέσθαι παρεκελεύετο καὶ καταπτεροῦν
horses rather to-attack ordered and to-feather
αὐτοὺς τοῖς τοξεύμασι παρῄνει, ἅμα δὲ καὶ
them with-the arrows advised at-the-same-time and also
ἵνα τῶν ἵππων ἀποβεβηκότες εὐχείρωτοι γένοιντο.
that from-the horses having-dismounted easy-to-subdue they-might-become
Κελτὸς γὰρ ἀνὴρ ἔποχος μὲν ἀκατάσχετος καὶ κἂν
a-Celt for man mounted indeed irresistible and even

τεῖχος διατετρήνειε Βαβυλώνιον, ἀποβεβηκὼς δὲ τοῦ
a-wall would-bore-through Babylonian having-dismounted and from-the
ἵππου ἄθυρμα τοῖς ἐθέλουσι γίνεται. γινώσκων γὰρ τὸ
horse a-plaything to-the willing becomes knowing for the
διάστροφον τῶν συνεφεπομένων αὐτῷ οὐκ ἤθελε τὰς
perversity of-the following-with him not he-wished the
κλεισούρας ὑπερβῆναι, καίτοι πολλὰ σφαδάζων δημοσίαν
passes to-cross although much struggling public
τὴν τοῦ Βαϊμούντου μάχην αὐτὸς ἀναδέξασθαι, καθά γε
the — with-Bohemond battle he to-take-up as at-least
καὶ πάλαι πολλάκις ἡμῖν δεδιήγητο. ἦν γὰρ πρὸς τὰς
also long-ago often by-us had-been-related he-was for for the
μάχας παντὸς ξίφους τομώτερος, ἄτρεστος τὴν γνώμην
battles than-every sword sharper fearless the mind
καὶ παντάπασιν ἀκατάπληκτος· ἀλλὰ τὰ συμπεσόντα
and entirely undaunted but the(-things) having-happened
οἱ ἀπεῖργε τοῦ ἐγχειρήματος δεινῶς αὐτοῦ τὴν ψυχὴν
to-him kept-off from-the undertaking terribly his the soul
ἐκπιέζοντα. στενοχωρούμενος οὖν ὁ Βαϊμοῦντος ἀπό τε
pressing being-hemmed-in then — Bohemond from both
ἠπείρου καὶ θαλάσσης (καὶ γὰρ ὁ μὲν αὐτοκράτωρ
mainland and sea and for the indeed autocrat
οἷον θεατὴς τῶν κατὰ τὴν πεδιάδα τοῦ Ἰλλυρικοῦ
as-it-were spectator of-the in the plain — of-Illyricum
πραττομένων καθῆστο, κἂν ὅλῃ ψυχῇ καὶ γνώμῃ
being-done sat even-though with-whole soul and mind
καὶ συμπαρῆν τοῖς μαχομένοις καὶ τῶν αὐτῶν ἐκείνοις
also he-was-present-with the fighting and of-the same with-them
ἱδρώτων καὶ πόνων μετεῖχεν, εἰ μή που καὶ πλείω
sweats and toils partook if not somewhere even more
τις φαίη, ἐρεθίζων πρὸς μάχας καὶ πολέμους τοὺς
anyone should-say stirring-up for battles and wars the

κατὰ τὰς ἀκρολοφίας τῶν κλεισουρῶν κατατεθέντας
at the hilltops of-the passes placed
ἡγεμόνας καὶ ὑποτιθέμενος, ὅπως χρὴ προσβάλλειν
leaders and suggesting how it-is-needful to-attack
τοῖς Κελτοῖς· ὁ δέ γε Μαριανὸς τοῦ ἀναμεταξὺ
the Celts — and at-least Marianos of-the between
Λογγιβαρδίας καὶ Ἰλλυρικοῦ πορθμοῦ τὰς κελεύθους
Lombardy and Illyricum strait the paths
ἐπιτηρῶν ἀπεῖργε παντάπασι τοὺς ἐκεῖθεν πρὸς τὸ
watching kept-off entirely the(-men) from-there to —
Ἰλλυρικὸν διαπερῶντας, οὐ τριάρμενον οὐδὲ μυριοφόρον
Illyricum crossing not three-masted nor huge-burden
ὁλκάδα οὐδὲ μυοπάρωνα δίκωπον τὸ παράπαν ξυγχωρῶν
merchantman nor cutter two-oared the at-all allowing
πρὸς τὸν Βαϊμοῦντον διαπερᾶν) καὶ αὐτῶν γοῦν τῶν
to — Bohemond to-cross and themselves at-any-rate the
διὰ θαλάττης κομιζομένων τροφίμων ἐκλιπόντων αὐτῷ
by sea conveyed foods having-failed for-him
καὶ τῶν διὰ ξηρᾶς ἐπιτιθεμένων σὺν ἐμπειρίᾳ πολλῇ
and the by land attacking with experience much
τὸν πόλεμον ἑώρα προβαίνοντα (ὁπηνίκα γὰρ τοῦ
the war he-saw advancing when for from-the
χάρακος χορταγωγίας χάριν ἐξήει τις ἢ καί τινων
palisade foraging for-the-sake went-out anyone or also of-some
συγκομιδῶν ἄλλων ἢ καὶ τοὺς ἵππους εἰς ποτὸν ἐξήλαυνον,
gatherings other or also the horses to drink they-drove-out
ἐπετίθεντο τούτοις οἱ Ῥωμαῖοι καὶ τοὺς πλείονας ἀνῄρουν,
attacked them the Romans and the most killed
ὡς κατὰ μικρὸν τὸ αὐτοῦ δαπανᾶσθαι στράτευμα)
as by little the his to-be-consumed army
ἀποστείλας πρὸς τὸν δοῦκα Δυρραχίου Ἀλέξιον τὰ
having-sent to the duke of-Dyrrachion Alexios the(-things)

περὶ εἰρήνης ἐπερωτᾷ. ἐπεὶ δὲ καὶ εἷς τις εὐγενὴς
about peace he-asks since and also one a-certain noble
τῶν τοῦ Βαϊμούντου κομήτων Γελίελμος ὁ Κλαρέλης
of-the — of-Bohemond counts William the Klareles
ἑώρα τὸ ἅπαν στράτευμα τῶν Κελτῶν ὑπό τε λιμοῦ
saw the whole army of-the Celts by both famine
καὶ νόσου (δεινὴ γάρ τις τούτοις ἐπέσκηψεν ἄνωθεν)
and disease terrible for some on-them had-fallen from-above
διαφθειρόμενον, τὴν ἑαυτοῦ σωτηρίαν πραγματευόμενος
being-destroyed the his-own safety procuring
μεθ' ἵππων πεντήκοντα αὐτομολεῖ πρὸς τὸν αὐτοκράτορα.
with horses fifty deserts to the autocrat
ὁ δὲ βασιλεὺς τὸν τοιοῦτον ἀποδεξάμενος πυθόμενός
the and emperor the such(-man) having-received having-learned
τε τὰ κατὰ τὸν Βαϊμοῦντον καὶ τήν τε ὑπὸ
both the(-things) concerning — Bohemond and the both by
λιμοῦ τοῦ στρατεύματος πτῶσιν βεβαιωθεὶς καὶ ὡς
famine of-the army fall having-been-assured and that
ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς ἐληλάκει, αὐτὸν
into strait utterly the(-affairs) concerning them had-come him
μὲν τῷ τοῦ νωβελλισίμου τηνικαῦτα τιμᾷ ἀξιώματι
indeed with-the of-the nobelissimos then honors rank
πολλαῖς δωρεαῖς καὶ χάρισιν ἀμειψάμενος, μεμαθηκὼς δὲ
many with-gifts and favors having-rewarded having-learned and
διὰ τῶν τοῦ Ἀλεξίου γραμμάτων, ὅτι ὁ Βαϊμοῦντος
through the — of-Alexios letters that — Bohemond
τὰ περὶ εἰρήνης πρὸς αὐτὸν διαπρεσβεύεται, κατανοῶν
the(-things) about peace to him negotiates perceiving
δὲ καὶ τοὺς ἀμφ' αὐτὸν ἀεί τι κακὸν κατ' αὐτοῦ
and also the(-men) about him always some evil against him
διανοουμένους καὶ ὅσαι ὧραι ἐπανισταμένους ὁρῶν καὶ
devising and every hour rising-up seeing and

βαλλόμενος μᾶλλον ὑπὸ τῶν ἐγκολπίων ἢ τῶν ὀθνείων
being-struck more by the intimate than the foreign
ἐχθρῶν, ἐπεὶ ἐδόκει αὐτῷ μὴ ἐπὶ πλέον πρὸς ἑκατέρους
enemies since it-seemed to-him not for longer against both
ἀμφοτέραις χερσὶ μάχεσθαι, τὴν ἀνάγκην φιλοτιμίαν
with-both hands to-fight the necessity an-ambition
ποιησάμενος, ὥς πού τις ἔφη, βέλτιον ἔγνωκεν εἶναι
having-made as somewhere someone said better he-knew to-be
τὴν μετὰ τῶν Κελτῶν εἰρήνην ἀσπάσασθαι καὶ μὴ τὰς
the with the Celts peace to-embrace and not the
τοῦ Βαϊμούντου ἀπώσασθαι αἰτήσεις, ἐπτοεῖτο δὲ ἐπὶ
— of-Bohemond to-reject requests he-feared and to
τὰ προσωτέρω χωρῆσαι δι᾽ ἣν ἄνωθεν ὁ λόγος
the farther to-advance because-of which above the account
ἐνέφηνεν αἰτίαν. διὰ ταῦτα αὐτὸς μὲν αὐτοῦ που
showed cause because-of these(-things) he indeed there somewhere
προσέμενεν ἀντικαθιστάμενος πρὸς ἄμφω τὰ μέρη, τῷ δὲ
waited opposing against both the sides to-the and
δουκὶ Δυρραχίου τοιαῦτα πρὸς τὸν Βαϊμοῦντον εἰπεῖν διὰ
duke of-Dyrrachion such to — Bohemond to-say through
γραμμάτων ἐπέσκηψεν “οἶσθα πάντως, ὁσάκις ἠπάτημαι
letters enjoined you-know surely how-often I-have-been-deceived
πιστεύων τοῖς σοῖς ὅρκοις καὶ ῥήμασιν. καὶ εἰ μὴ ὁ τοῦ
trusting in-the your oaths and words and if not the of-the
εὐαγγελίου θεῖος νόμος Χριστιανοῖς ἅπαντα συγχωρεῖν
gospel divine law to-Christians all to-forgive
ἀλλήλοις παρεκελεύετο, οὐκ ἂν πρὸς τοὺς σοὺς λόγους
each-other urged not — to the your words
τὰ ὦτα ἀνέῳξα. βέλτιον δὲ ὅμως ἀπατᾶσθαι ἢ
the ears I-would-have-opened better and nevertheless to-be-deceived than
προσκεκρουκέναι Θεῷ καὶ θείους παραβαίνειν νόμους. διά
to-have-offended God and divine to-transgress laws because-of

τοι τοῦτο οὐκ ἀποπέμπομαί σου τὴν αἴτησιν. εἰ μὲν οὖν
surely this not I-reject your the request if indeed then
ἐν ἀληθείαις τὴν εἰρήνην καὶ αὐτὸς βούλει μυσαχθεὶς τὸ
in truth the peace also you wish having-loathed the
ἄτοπον οὗπερ ἐπεχείρησας ἔργου καὶ ἀτέλεστον καὶ οὐκέτι
absurd which you-undertook work and unaccomplished and no-longer
αἵμασι Χριστιανῶν ἐκχεομένοις χαίρειν ἐθέλεις οὔθ' ὑπὲρ
in-blood of-Christians being-shed to-rejoice you-wish neither for
τῆς σφῶν πατρίδος οὔθ' ὑπὲρ τῶν Χριστιανῶν, ἀλλὰ
the your fatherland nor for the Christians but
σοῦ γε καὶ μόνου χάριν θελήματος, ἐπεὶ βραχὺ τὸ
your at-least and only for-the-sake of-will since short the
ἀναμεταξὺ ἡμῶν διάστημά ἐστιν, αὐτὸς παραγενοῦ μεθ'
between us distance is you come with
ὅσων ἂν βούλῃ. καὶ εἴτε τὰ σφῶν ἡμῶν θελήματα ἐς
as-many-as — you-wish and whether the your our wills to
ταὐτὸν συμβαίεν, ὡς ἡ σύμβασις ἔξει τῶν πραγμάτων,
the-same should-come as the agreement will-have of-the affairs
εἴτε καὶ μή, καὶ οὕτως, ὡς εἴρηται, ἀβλαβὴς πρὸς τὴν
or also not also thus as has-been-said unharmed to the
ἰδίαν ἐπαναστρέψεις παρεμβολήν."
own you-will-return camp

Alexios sends Marinos of Naples, Roger, Constantine Euphorbenos, and Adralestos to promise Bohemond safe conduct. Bohemond meets them far from his camp, so they will not see its ruin, and lays down terms: kinsmen of the emperor to meet him six stades off, Alexios to rise from his throne, no mention of the past, a place at the head of the couch, and no bowing. The envoys refuse to have the emperor rise or Bohemond go unbowed. Count Hugh urges peace, Bohemond yields, oaths are exchanged, and he hands Marinos, Adralestos, and Roger as hostages to his brother Guy.

Ταῦτ' ἀκούσας ὁ Βαϊμοῦντος ὁμήρους τῶν ἐπιφανῶν
these(-things) having-heard — Bohemond as-hostages of-the illustrious
ᾐτήσατο δοθῆναί οἱ, ἐφ' ᾧ τούτους παρὰ τῶν αὐτοῦ
asked to-be-given to-him for which them by the his
κομήτων ἐλευθέρους ἐν τῇ ἰδίᾳ κατέχεσθαι παρεμβολῇ,
counts free in the own to-be-held camp
μέχρις ἂν αὐτὸς ἐπαναστρέψῃ· ἄλλως γὰρ μὴ ἀποθαρρεῖν
until — he return otherwise for not to-dare
τὴν πρὸς τὸν αὐτοκράτορα ἔλευσιν. μεταπεμψάμενος
the to the autocrat coming having-summoned
τοίνυν ὁ βασιλεὺς τὸν Νεαπολίτην Μαρῖνον καὶ τὸν ἐπ'
therefore the emperor the Neapolitan Marinos and the for
ἀνδρείᾳ περίκλυτον Φράγγον Ῥογέρην, ἄνδρας φρενήρεις
courage renowned Frank Roger men sensible
καὶ τῶν Λατινικῶν ἐθῶν ἐν πείρᾳ καθεστηκότας πολλῇ,
and of-the Latin customs in experience standing much
καὶ Κωνσταντῖνον τὸν Εὐφορβηνόν (γενναῖος δὲ οὗτος
and Constantine the Euphorbenos noble and this-man
καὶ χεῖρα καὶ γνώμην καὶ μηδέποτε κατά τι τῶν
both in-hand and in-mind and never in anything of-the
αὐτῷ παρὰ τοῦ βασιλέως ἐπιτεταγμένων διημαρτηκώς)
to-him by the emperor enjoined having-failed

καὶ Ἀδράλεστόν τινα τῆς Κελτικῆς γλώττης εἰδήμονα,
and Adralestos a-certain of-the Celtic tongue knowing
τούτους, ὡς εἴρηται, πρὸς τὸν Βαϊμοῦντον ἀπέστειλεν
these as has-been-said to — Bohemond sent
ἐπισκήψας παντοίως αὐτὸν μετελθεῖν καὶ πεῖσαι αὐτόμολον
having-enjoined in-every-way him to-approach and to-persuade a-deserter
ἀφικέσθαι πρὸς τὸν αὐτοκράτορα, ἐφ' ᾧ ἀπαγγεῖλαι
to-come to the autocrat for which to-report
ἅπερ ἂν βούλοιτο καὶ ζητοίη ἐξ αὐτοῦ· κἂν μὲν ἀρεστὰ
whatever — he-should-wish and should-seek from him and-if indeed pleasing
δόξῃ τῷ αὐτοκράτορι, ἐξ ἀνάγκης αὐτῶν ἐπιτεύξεσθαι,
should-seem to-the autocrat of necessity them to-obtain
εἰ δὲ μή, ἀβλαβῆ αὖθις εἰς τὴν οἰκείαν παλινοστῆσαι
if and not unharmed again to the own to-return
παρεμβολήν. καὶ ταῦτα μὲν πρὸς ἐκείνους ὁμιλήσας
camp and these(-things) indeed to those having-spoken
ὁ βασιλεὺς ἐκεῖθεν ἀπέλυσεν· οἱ δὲ τὴν πρὸς τὸν
the emperor from-there dismissed they and the to —
Βαϊμοῦντον φέρουσαν ὥδευον. ὃς τὴν τούτων πυθόμενος
Bohemond leading(-road) traveled who the their having-learned
ἔλευσιν καὶ δεδιώς, μὴ τὴν τοῦ στρατεύματος αὐτοῦ
coming and having-feared lest the of-the army his
πτῶσιν κατανοήσαντες τῷ βασιλεῖ τὰ περὶ τούτων
fall having-perceived to-the emperor the(-things) about these
ἀπαγγείλαιεν, ἔποχος πόρρω τῆς παρεμβολῆς αὐτοῖς
they-should-report mounted far from-the camp them
ὑπήντησεν. οἱ δὲ τὰ τοῦ αὐτοκράτορος πρὸς αὐτὸν
met they and the(-things) of-the autocrat to him
ἀπεστομάτισαν ὡς "οὐκ ἐπιλέλησται πάντως ὁ βασιλεύς,
recited that not has-forgotten surely the emperor
φησι, τῶν ὑποσχέσεων καὶ τῶν ὅρκων, ὧν ἐποιήσω οὐ σὺ
he-says the promises and the oaths which you-made not you

μόνος, ἀλλὰ καὶ πάντες οἱ τότε διεληλυθότες κόμητες. καὶ
alone but also all the then having-passed counts and
ὁρᾷς πάντως, ὡς οὐκ εἰς καλὸν τὰ τῆς παραβάσεως
you-see surely that not to good the(-things) of-the transgression
τῶν ὅρκων ἐκείνων ἀπέβη σοι". τούτων ὁ Βαϊμοῦντος
of-the oaths those turned-out for-you these — Bohemond
ἀκούσας "ἅλις" ἔφη "τῶν τοιούτων λόγων. εἰ δέ τι
having-heard enough he-said of-the such words if and something
ἕτερον παρὰ τοῦ βασιλέως διεμηνύθη μοι, τοῦτο μαθεῖν
other from the emperor was-reported to-me this to-learn
ἐθέλω." καὶ οἱ πρέσβεις πρὸς αὐτόν "ὁ βασιλεὺς τὴν σήν
I-wish and the envoys to him the emperor the your
τε καὶ τοῦ ὑπὸ σὲ στρατεύματος σωτηρίαν βουλόμενος
both and of-the under you army safety wishing
ταῦτά σοι δι' ἡμῶν ἀποφθέγγεται. οἶσθα πάντως, ὅτι
these(-things) to-you through us declares you-know surely that
πολλὰ μογήσας οὔτε τὴν πόλιν Δυρραχίου κατασχεῖν οἷός
much having-toiled neither the city of-Dyrrachion to-seize able
τε γέγονας οὔτε σαυτῷ καὶ τοῖς ὑπὸ σὲ ἀγαθόν τι
— you-have-been nor to-yourself and to-the under you good anything
προσενήνοχας. εἰ γοῦν μὴ παντελῆ ἀπώλειαν ἑαυτοῦ
have-brought if at-any-rate not utter destruction of-yourself
τε καὶ τοῦ ὑπὸ σὲ λαοῦ βούλει πραγματεύσασθαι, ἴθι
both and of-the under you people you-wish to-procure go
πρὸς τὴν βασιλείαν μου ἀδεῶς ἀποκαλύψων ἅπαν τὸ σοὶ
to the majesty my fearlessly going-to-reveal all the to-you
βουλητὸν καὶ ἀκουσόμενος αὖθις τὰ ἡμῖν δοκοῦντα.
wished(-thing) and going-to-hear again the(-things) to-us seeming
καὶ εἰ μὲν ἐς ταὐτὸν αἱ ἀμφοτέρων γνῶμαι ξυνδράμοιεν,
and if indeed to the-same the of-both minds should-concur
Θεῷ χάρις· εἰ δ' οὖν, ἀσινῆ σε αὖθις πρὸς τὴν οἰκείαν
to-God thanks if but then unharmed you again to the own

ἐκπέμψω παρεμβολήν. ἀλλὰ καὶ ὅσοι τῶν ὑπὸ σὲ πρὸς
I-will-send-out camp but also as-many-as of-the under you to
τὴν τοῦ ἁγίου τάφου προσκύνησιν ἀπιέναι βουλήσονται,
the of-the holy tomb veneration to-go-off will-wish
διασωθήσονται παρ' ἐμοῦ· ὅσοι δὲ τὴν πρὸς τὴν
will-be-brought-safe by me as-many-as and the to the
χώραν αὐτῶν ἀναχώρησιν ἕλωνται, δαψιλῶν τῶν ἐξ ἐμοῦ
land their withdrawal should-choose abundant the from me
δωρεῶν ἀπολαύσαντες πρὸς τὰ οἴκοι ἀπολυθήσονται."
gifts having-enjoyed to the(-places) at-home will-be-released
καὶ ὃς πρὸς αὐτούς "νῦν ἔγνων ὄντως, παρὰ τοῦ βασιλέως
and he to them now I-knew truly by the emperor
σταλῆναι ἄνδρας ἱκανοὺς εἰπεῖν τε λόγον καὶ δέξασθαι.
to-have-been-sent men capable to-speak both word and to-receive
αἰτῶ γοῦν ἀφ' ὑμῶν πληροφορίαν λαβεῖν εἰς τὸ
I-ask at-any-rate from you assurance to-get to the
παντελές, μὴ ἀτίμως ὑποδεχθῆναι παρὰ τοῦ αὐτοκράτορος,
utterly not dishonorably to-be-received by the autocrat
ἀλλὰ πρὸ ἓξ σταδίων τοὺς γνησιωτάτους τῶν καθ' αἷμα
but before six stades the most-genuine of-the by blood
προσῳκειωμένων αὐτῷ τὴν ἐμὴν ποιήσασθαι προϋπάντησιν,
related to-him the my to-make meeting
περὶ δὲ τὴν βασιλικὴν σκηνὴν πελάσαντα ἅμα
about and the imperial tent having-approached at-the-same-time
τῷ τὰς πύλας εἰσιέναι καὶ αὐτὸν τῆς βασιλικῆς
with-the the gates to-enter also himself from-the imperial
ἐξαναστάντα περιωπῆς ἐντίμως με ὑποδέξασθαι καὶ
having-risen height honorably me to-receive and
μηδ' ἠντιναοῦν ἀναφορὰν τῶν προγεγονυιῶν συμφωνιῶν
not-even any reference of-the former agreements
γεγονέναι μοι ἢ ὅλως εἰς κρίσιν ἀγαγέσθαι με, ἀλλ'
to-have-been-made to-me or at-all into judgment to-bring me but

ἐλεύθερον ἄδειαν σχόντα κατὰ τὸ ἐμοὶ βουλητὸν εἰπεῖν
free leave having according-to the to-me wished(-thing) to-say
ὁπόσα καὶ βούλομαι· πρὸς δὲ τούτοις καὶ τὸν βασιλέα
how-much also I-wish to and these also the emperor
τῆς ἐμῆς κρατῆσαι χειρὸς καὶ πρὸς τῇ κεφαλῇ τῆς
the my to-hold hand and at the head of-the
κλίνης αὐτοῦ παραστῆσαί με καὶ μετὰ δύο χλαμύδων τὴν
couch his to-place me and with two cloaks the
εἴσοδον ποιησάμενον μηδ' ὅλως εἰς προσκύνησιν κάμψαι
entrance having-made not-even at-all into obeisance to-bend
γόνυ ἢ τράχηλον τῷ αὐτοκράτορι." τούτων ἀκούσαντες
knee or neck to-the autocrat these having-heard
οἱ ἀνωτέρω δηλωθέντες πρέσβεις τὸ μὲν ἐξαναστῆναι
the above mentioned envoys the indeed to-rise-up
τοῦ βασιλικοῦ θρόνου αὐτὸν οὐ προσεδέξαντο, ἀλλὰ
from-the imperial throne him not accepted but
καὶ ὡς περιττὴν τὴν αἴτησιν ἀπεπέμψαντο· οὐ μόνον δὲ
also as superfluous the request rejected not only and
τοῦτο ἀπεδοκίμασαν, ἀλλὰ καὶ τὸ μὴ κλῖναι γόνυ μήτε
this they-disapproved but also the not to-bend knee nor
τράχηλον εἰς προσκύνησιν τῷ βασιλεῖ. πρὸς δὲ τό τινας
neck into obeisance to-the emperor to and the some
τῶν πορρωτέρω συγγενῶν αὐτοῦ μεταβῆναι διάστημα
of-the more-distant kinsmen his to-go-across distance
ἱκανὸν καὶ οὕτως τοῦτον προσδέξασθαι πρὸς τὸν βασιλέα
considerable and thus him to-receive to the emperor
εἰσελευσόμενον χάριν οἰκονομίας καὶ θεραπείας τῆς πρὸς
going-to-enter for-the-sake of-management and attention of-the toward
αὐτὸν καὶ πρὸς τὸ σὺν δυσὶ χλαμύσιν εἰσελθεῖν, ἀλλὰ δὴ
him and to the with two cloaks to-enter but indeed
καὶ τὸ τῆς χειρὸς τούτου τὸν βασιλέα ἐφάψασθαι καὶ
also the of-the hand his the emperor to-take and

στῆσαι πρὸς τῷ ἄνωθεν μέρει τοῦ βασιλικοῦ σκίμποδος
to-place at the upper part of-the imperial couch
οὐκ ἀπεπέμψαντο. μετὰ τὸ ταῦτα ῥηθῆναι διέστησαν οἱ
not they-rejected after the these(-things) to-be-said separated the
πρέσβεις ἀπελθόντες, ἔνθα ἡτοίμαστο ἡ τούτων ἀνάπαυσις,
envoys having-gone-off where was-prepared the their rest
φυλαττόμενοι ὑπὸ σεργεντίων ἑκατόν, ἵνα μὴ νυκτὸς
being-guarded by sergeants a-hundred that not by-night
ἐξεληλυθότες τὰ περὶ τὸ στράτευμα κατασκοπήσαιεν
having-gone-out the(-things) about the army they-might-spy-out
καὶ οὕτω καταφρονητικώτερον πρὸς αὐτὸν διατεθήσονται.
and thus more-contemptuously toward him will-be-disposed
τῇ δὲ μετ' αὐτὴν μεθ' ἱππέων τριακοσίων καὶ τῶν
on-the(-day) and after it with horsemen three-hundred and the
κομήτων πάντων κατέλαβεν, οὗ τοῖς δηλωθεῖσιν ἀνδράσι
counts all he-arrived where with-the mentioned men
τῇ προτεραίᾳ ὡμίλησε, κᾆθ' οὕτως τοὺς ἐκκρίτους ἓξ
on-the previous(-day) he-had-conversed and-then thus the picked six
τὸν ἀριθμὸν συμπαραλαβὼν ἄπεισι πρὸς τοὺς πρέσβεις
the number having-taken-along goes-off to the envoys
τοὺς ὑπολοίπους αὐτοῦ που καταλιπὼν ἀπεκδέχεσθαι
the remaining there somewhere having-left to-await
αὐτὸν ἐκεῖθεν ἐπανελθόντα. περὶ γοῦν τῶν προλεχθέντων
him from-there having-returned about at-any-rate the aforesaid(-things)
αὖθις διασκεπτομένων, ἐπεὶ ὁ Βαϊμοῦντος ἐνίστατο, κόμης
again deliberating since — Bohemond objected count
τις τῶν λίαν ὑψηλῶν Οὖβος τὴν κλῆσιν πρὸς τὸν
a-certain of-the very lofty Hugh the name to —
Βαϊμοῦντον ἔφη ὡς "οὐδεὶς ἀφ' ἡμῶν τῶν μελλόντων
Bohemond he-said that no-one of us the(-men) about-to
μετὰ τοῦ βασιλέως συνάψαι τὸν πόλεμον οὔπω ἔπληξέ

τινα διὰ δόρατος. ἔα τοίνυν τὰ πολλά· τὴν εἰρήνην τῆς
anyone with spear let-go therefore the many(-things) the peace for-the
μάχης ἀλλάξασθαι χρή." λόγων οὖν πολλῶν ἐξ ἑκατέρων
battle to-exchange it-is-needful of-words then many on both-sides
κινηθέντων βαρέως ὁ Βαϊμοῦντος εἶχεν ὑβριοπαθῶν,
having-been-moved heavily — Bohemond was feeling-insulted
εἰ μὴ πάντα γένοιντο ὁπόσα φθάσας ἐπεζήτει τοὺς
if not all should-happen as-many-as having-first he-sought the
πρέσβεις. τῶν δ' ἐπί τισι συγκατατιθεμένων, ἐφ' ὧν
envoys they and on some(-points) agreeing on which
δὲ ἀνανευόντων, πείθεται ὁ Βαϊμοῦντος καὶ τὴν ἀνάγκην,
and refusing is-persuaded — Bohemond and the necessity
ὅ φασι, φιλοτιμίαν ποιησάμενος ὅρκον ἐξ αὐτῶν ἐζήτει,
as they-say an-ambition having-made oath from them he-sought
ὥστε ἐντίμως ὑποδεχθῆναι καὶ εἰ μὴ τοῖς θελήμασιν
so-that honorably to-be-received and if not to-the wishes
αὐτοῦ ὁ αὐτοκράτωρ κατανεύσειεν, ἀσινὴς πρὸς τὴν
his the autocrat should-assent unharmed to the
ἰδίαν ἐκπεμφθῆναι παρεμβολήν. τῶν οὖν ἁγίων εὐαγγελίων
own to-be-sent-back camp the then holy gospels
προτεθέντων ὁμήρους ἐζήτει παραδοθῆναι τῷ ἀδελφῷ
having-been-set-before as-hostages he-sought to-be-handed-over to-the brother
αὐτοῦ Γίδῳ καὶ φυλάττεσθαι παρ' αὐτοῦ μέχρις οὗ αὐτὸς
his Guy and to-be-guarded by him until when he
ὑποστρέψῃ. οἱ δὲ πρέσβεις πρὸς τοῦτο κατανεύσαντες
return the and envoys to this having-assented
ὅρκους αὖθις ὑπὲρ τῆς τῶν ὁμήρων ἀσφαλείας καὶ αὐτοὶ
oaths again for the of-the hostages safety also they
ἀντεπεζήτουν. κατανενευκὼς δὲ πρὸς τοῦτο ὁ Βαϊμοῦντος
in-turn-sought having-assented and to this — Bohemond
καὶ ὅρκους δοὺς καὶ λαβὼν τοὺς μὲν ὁμήρους, τόν
and oaths having-given and having-taken the indeed hostages the

τε σεβαστὸν Μαρῖνον καὶ τὸν καλούμενον Ἀδράλεστον
both sebastos Marinos and the called Adralestos
καὶ τὸν Φράγγον Ῥογέρην, παραδίδωσι τῷ ἀδελφῷ αὐτοῦ
and the Frank Roger hands-over to-the brother his
Γίδῳ, ἵν' ὁπηνίκα ἢ μετὰ τοῦ βασιλέως εἰρηνικὰς
Guy that when either with the emperor peaceful
σπονδὰς ποιήσειεν ἢ εἰ μὴ τοῦτο, ἀβλαβεῖς ἐκεῖθεν κατὰ
treaties he-should-make or if not this unharmed from-there according-to
τοὺς ὅρκους αὐτοὺς πρὸς τὸν αὐτοκράτορα ἐξαποστείλῃ.
the oaths them to the autocrat he-should-send-off

XXXI · BOHEMOND BEFORE THE EMPEROR

Bohemond's counts allow him to move his stinking camp only twelve stades. Katakalon visits Dyrrachion, whose battlements carry loose planks to drop any Latin climber inside, and finds the city well supplied. Bohemond comes to the imperial tent, and Alexios takes his hand and places him beside the throne. Anna describes him: nearly a cubit taller than the tallest, broad-shouldered and slim-waisted, a slight stoop, white skin, cropped yellow hair, blue-gray eyes, and a laugh like a snort, a man both terrible and charming.

Μέλλων τοίνυν τῆς πρὸς τὸν βασιλέα μετὰ τοῦ Εὐφορβηνοῦ
being-about therefore the to the emperor with — Euphorbenos
Κωνσταντίνου τοῦ Κατακαλὼν φερούσης ἅψασθαι, ἐπεὶ
Constantine the Katakalon leading(-road) to-take-to since
δυσωδία πολλὴ διὰ τὸ περὶ τὸν αὐτὸν τόπον καιρὸν
stench much because-of the about the same place time
ἱκανὸν τὸ ὑπ' αὐτὸν στράτευμα χρονοτριβῆσαι γέγονε,
considerable the under him army to-spend had-arisen
βουλόμενος μεταθεῖναι τὸ στράτευμα μηδὲ τοῦτ' ἄνευ
wishing to-move the army not-even this without

τῆς αὐτῶν βουλῆς ἐθέλειν γενέσθαι ἔλεγε. τοιοῦτον γὰρ
the their counsel to-wish to-happen he-said such for
τὸ Κελτῶν γένος ἀνώμαλον καὶ ἐφ᾽ ἑκάτερα ἐν ὀξείᾳ
the of-Celts race uneven and to both-sides in sharp
καιροῦ ῥοπῇ μεταφερόμενον· καὶ ἔστιν ἰδεῖν τὸν αὐτὸν
of-time turn shifted and it-is to-see the same
καὶ ἕνα ποτὲ μὲν αὐχοῦντα τὴν γῆν κλονήσειν
and one at-one-time indeed boasting the earth to-shake
ἅπασαν, ποτὲ δὲ ὑποπεπτωκότα καὶ μέχρι κονίας αὐτῆς
whole at-another and fallen-down and as-far-as dust itself
καταγόμενον καὶ μᾶλλον, ὁπηνίκα στερροτέροις ἐντύχοι
brought-down and more when firmer it-should-meet
φρονήμασιν. οἱ δὲ πλείω τῶν δύο καὶ δέκα σταδίων
minds they and more than-the two and ten stades
οὐ συνεχώρουν μετατεθῆναι τὸ στράτευμα καὶ "εἰ τοῦτο
not allowed to-be-moved the army and if this
βούλει", πρὸς τὸν Βαϊμοῦντον ἔλεγον "συνελευσόμεθα
you-wish to — Bohemond they-said we-will-come-along
καὶ ἡμεῖς ὀψόμενοι τὸν τόπον". κατανεύσαντος δὲ καὶ
also we going-to-see the place having-assented and also
πρὸς τοῦτο τοῦ Βαϊμούντου, παραχρῆμα διὰ γραμμάτων
to this — Bohemond immediately through letters
τοῖς τὰς κλεισούρας φυλάσσουσιν ἐδήλωσαν, ὥστε
to-the(-men) the passes guarding they-made-known so-that
μὴ ἐκδρομὰς ποιουμένους καταβλάπτειν αὐτούς. ὁ δὲ
not sallies making to-harm them — and
Εὐφορβηνὸς Κωνσταντῖνος ὁ Κατακαλὼν ἠτεῖτο αὖθις
Euphorbenos Constantine the Katakalon asked again
τὸν Βαϊμοῦντον, παραχωρηθῆναι τὴν εἰς τὸ Δυρράχιον
— Bohemond to-be-allowed the to — Dyrrachion
ἀπέλευσιν. κατανεύσαντος δὲ τοῦ Βαϊμούντου, γοργῶς
going-off having-assented and — Bohemond swiftly

τὸ Δυρράχιον ὁ Κατακαλὼν καταλαμβάνει καὶ τὸν
— *Dyrrachion* — *Katakalon reaches and the*
φυλάσσοντα τὴν πόλιν Ἀλέξιον τὸν υἱὸν Ἰσαακίου τοῦ
guarding the city Alexios the son of-Isaac the
σεβαστοκράτορος ἀναζητήσας ἀπήγγειλε τὰ παρὰ
sebastokrator having-sought reported the(-things) from
τοῦ αὐτοκράτορος διαμηνυθέντα πρὸς αὐτόν τε καὶ τοὺς
the autocrat sent to him both and the
συγκατελθόντας μετ᾽ αὐτοῦ λογάδας τῶν στρατιωτῶν.
having-come-down with him picked-men of-the soldiers
καὶ γὰρ οὐκ ἠδύναντο τοῦ τείχους προκύπτειν διὰ
and for not they-could from-the wall to-peep-out because-of
τὴν γεγενημένην ἄνωθεν περὶ τὰ κρήδεμνα τοῦ Δυρραχίου
the made from-above about the battlements — of-Dyrrachion
μηχανὴν τοῦ αὐτοκράτορος. σανίδες γάρ τινες περὶ τὰς
device of-the autocrat planks for some on the
ἐπάλξεις τοῦ κάστρου εὐμηχάνως ἐτέθησαν ἐπὶ τούτῳ
battlements of-the fortress cleverly were-placed for this
αὐτῷ κατασκευασθεῖσαι ἀνήλωτοι, ὥστε τοὺς ἴσως ἀπὸ
itself built unnailed so-that the(-men) perhaps from
τῶν Λατίνων διὰ κλιμάκων ἀναρριχᾶσθαι πειρωμένους,
the Latins by ladders to-clamber attempting
ἐπὰν τῶν ἐπάλξεων ἐπιβαῖεν, μὴ ἐστηριγμένους ἵστασθαι,
when on-the battlements they-should-step not supported to-stand
ἀλλὰ σὺν αὐταῖς σανίσι διολισθαίνειν τηνικαῦτα καὶ πίπτειν
but with themselves planks to-slip-through then and to-fall
ἐντός, καθά γε καὶ εἴρηται. τούτοις οὖν ὁμιλήσας ὁ
inside as at-least also has-been-said with-these then having-conversed —
Εὐφορβηνὸς καὶ τὰ τοῦ βασιλέως μηνύματα ἀπαγγείλας
Euphorbenos and the of-the emperor messages having-reported
καὶ θάρσους ἐμπλήσας αὐτοὺς ἐρωτήσας τε τὰ
and with-courage having-filled them having-asked both the(-things)

περὶ τοῦ κάστρου καὶ διαγνοὺς τὰ κατ᾽ αὐτοὺς
about the fortress and having-discerned the(-things) concerning them
ἀρίστης τετυχηκέναι οἰκονομίας, ὡς τῶν πρὸς χρείαν
of-the-best to-have-obtained management as of-the(-things) for need
αὐτάρκως ἔχοντας καὶ παρ᾽ οὐδὲν τὰς τοῦ Βαϊμούντου
sufficiently having and at nothing the — of-Bohemond
λογιζομένους μηχανάς, καταλαμβάνει τὸν Βαϊμοῦντον τὴν
reckoning devices reaches — Bohemond the
ταφρείαν, ἔνθα προεῖπε, ποιησάμενον. καὶ ἑνωθεὶς αὐτῷ
entrenchment where he-said-before having-made and having-united with-him
τῆς πρὸς τὸν βασιλέα φερούσης εἶχετο. οἱ δ᾽ ἐπίλοιποι
the to the emperor leading(-road) held the and remaining
τῶν πρέσβεων κατὰ τὰ προϋπεσχημένα μετὰ τῶν
of-the envoys according-to the promised(-things) with the(-men)
Γίδου κατελείφθησαν. Μανουὴλ δὲ τὸν Μοδηνὸν πιστότατόν
of-Guy were-left Manuel and the Modenos most-faithful
τε καὶ εὐνούστατον τῶν αὐτοῦ θεραπόντων ὑπάρχοντα
both and most-loyal of-the his servants being
προαποστέλλει πρὸς τὸν βασιλέα τὴν πρὸς αὐτὸν τοῦ
sends-ahead to the emperor the to him —
Βαϊμούντου ἀπαγγέλλοντα ἔλευσιν. ἐπεὶ δὲ ἀγχοῦ τῆς
of-Bohemond reporting coming when and near the
βασιλικῆς ἐγεγόνει σκηνῆς, παρεσκεύαστο καὶ τὰ
imperial he-had-come tent was-prepared also the(-things)
τῆς αὐτοῦ ὑπαντῆς, καθὼς οἱ πρέσβεις τούτῳ συνέθεντο.
of-the his meeting as the envoys with-him agreed
εἰσελθόντος δὲ τούτου, ἐκτείνας τὴν χεῖρα ὁ βασιλεὺς
having-entered and he having-stretched-out the hand the emperor
καὶ τῆς ἐκείνου ἁψάμενος χειρὸς καὶ τὴν συνήθη τοῖς
and the his having-taken hand and the customary for-the
βασιλεῦσι προσαγόρευσιν ποιησάμενος ἐγγὺς τοῦ βασιλικοῦ
emperors greeting having-made near the imperial

παρεστήσατο θρόνου. ἦν δὲ τοιοῦτος ὁ ἀνὴρ οἷος, ὡς
placed throne was and such the man as as
ἐν βραχεῖ μὲν εἰπεῖν, οὐδεὶς κατ᾽ ἐκεῖνον ὤφθη ἐν τῇ
in brief indeed to-say no-one like him was-seen in the
τῶν Ῥωμαίων γῇ οὔτε βάρβαρος οὔτε Ἕλλην (θάμβος
of-the Romans land neither barbarian nor Hellene marvel
γὰρ ἦν ὀφθαλμῶν ὁρώμενος καὶ φημιζόμενος ἔκπληξις),
for he-was of-eyes being-seen and being-reported astonishment
κατὰ μέρος δὲ ὑπογράψαι τὸ τοῦ βαρβάρου εἶδος,
in part and to-describe the of-the barbarian appearance
τοιόσδε μακρὸς ἦν τὴν ἀναδρομὴν τοῦ σώματος, ὥστε
such tall he-was the stature of-the body so-that
εἰς πῆχυν ἕνα μικροῦ τοὺς μακροτάτους ὑπερελαύνειν, τὴν
by cubit one almost the tallest to-surpass the
γαστέρα συνεσταλμένος καὶ τὰς λαγόνας καὶ τοὺς ὤμους
belly drawn-in and the flanks and the shoulders
εὐρὺς καὶ τὰ στέρνα πλατὺς καὶ τοὺς βραχίονας καρτερὸς
broad and the chest wide and the arms strong
καὶ τὴν ὅλην ἕξιν τοῦ σώματος οὔτε περιεπτισμένος οὔτε
and the whole habit of-the body neither thin nor
περιβριθόμενος ταῖς σαρξίν, ἀλλ᾽ ὡς ἄριστα κεκραμένος
heavy with-the flesh but as best blended
καὶ οἷον εἰπεῖν κατὰ τὸν Πολυκλείτειον κανόνα
and as-it-were to-say according-to the Polykleitan canon
ἐνηρμοσμένος· τὰς χεῖρας ἁδρὸς καὶ τῶν ποδῶν τὰς
fitted the hands stout and of-the feet the
βάσεις στερρὸς καὶ τὸν αὐχένα καὶ τὰ μετάφρενα
bases firm and the neck and the back
εὐπαγής. ὑποκεκυφὼς δὲ μετρίως τῷ ἀκριβῶς αὐτὸν
well-knit stooping and moderately to-the(-one) closely him
περιεργαζομένῳ ἐφαίνετο οὐ τῶν νωτιαίων σπονδύλων
scrutinizing he-appeared not of-the spinal vertebrae

τι πεπονθότων τῆς ῥάχεως, ἀλλ᾽ οὕτω μετρίως ἐκ
something having-suffered of-the spine but thus moderately from
γενετῆς, ὡς ἔοικε, τὴν διάπλασιν ἔσχηκε. τὸ χρῶμα κατὰ
birth as it-seems the formation he-had the color in
τὸ ἄλλο μὲν σῶμα λευκότατος, τὸ δὲ πρόσωπον μετὰ τοῦ
the rest indeed body very-white the and face with the
λευκοῦ ἐπυρσοῦτο. καὶ ἡ κόμη ὑπόξανθος, ἀλλ᾽ οὐ μὲν
white was-tinged-red and the hair yellowish but not indeed
οὖν μέχρι τῶν μεταφρένων αἰωρουμένη κατὰ τοὺς ἄλλους
then as-far-as the back hanging like the other
βαρβάρους· οὐ γὰρ ἐτριχομάνει ὁ ἀνήρ, ἀλλὰ κουρίας ἦν
barbarians not for was-hair-mad the man but cropped he-was
μέχρι τῶν ὤτων. τὸ δὲ γένειον εἴτε πυρσὸν εἴτε ἄλλο τι
as-far-as the ears the and beard whether red or other some
χρῶμα εἶχεν, οὐκ ἔχω λέγειν· ὁ ξυρὸς γὰρ ἐπεξῆλθεν αὐτὸ
color it-had not I-can say the razor for went-over it
καὶ τιτάνου παντὸς ἀκριβέστερον· ἐδόκει δ᾽ οὖν εἶναι καὶ
and than-chalk any more-closely it-seemed and then to-be also
τοῦτο πυρσόν. τὸ βλέμμα γλαυκὸν καὶ ἅμα θυμὸν
this red the glance blue-gray and at-the-same-time spirit
καὶ ἐμβρίθειαν ὑποσημαῖνον· καὶ ἡ ῥὶς αὐτῷ καὶ ὁ μυκτὴρ
and gravity signifying and the nose to-him and the nostril
ἐλεύθερον ἔπνει τὸν ἀέρα· συνηγόρει δὲ τῷ μυκτῆρι
freely breathed the air pleaded and for-the nostril
διὰ τῶν στέρνων καὶ διὰ τοῦ μυκτῆρος ∗∗∗ τὴν τῶν
through the chest and through the nostril (lacuna) the of-the
στέρνων εὐρύτητα. ἡ γὰρ φύσις διεξόδους ἐδεδώκει διὰ
chest breadth the for nature outlets had-given through
τῶν ῥινῶν τοῦ ἀπὸ τῆς καρδίας παφλάζοντος πνεύματος.
the nostrils for-the from the heart boiling breath
ἡδὺ δέ τι καὶ ἐνεφαίνετο τῷ ἀνδρὶ τούτῳ, ἀλλὰ τοῖς
sweet and something also appeared in-the man this but by-the

ἁπανταχόθεν φοβεροῖς ὑπεθραύετο. ὅλος γὰρ δι᾽ ὅλου
from-everywhere fearsome(-traits) was-broken whole for through whole
τοῦ σώματος ἀμείλικτος ἦν καὶ θηριώδης ὁ ἄνθρωπος
the body implacable he-was and beastlike the man
ἀπὸ τοῦ μεγέθους ἀπό τε βλέμματος, δοκεῖ μοι, καὶ
from the size from and glance seems to-me also
ὁ γέλως αὐτοῦ τοῖς ἄλλοις ἐμβρίμημα ἦν. οὕτως εἶχε
the laughter his to-the others a-snort was thus he-was
ψυχῆς τε καὶ σώματος, ὡς καὶ τὸν θυμὸν ἐν τούτῳ
of-soul both and of-body that both the spirit in him
κορύσσεσθαι καὶ τὸν ἔρωτα καὶ ἀμφοτέρους ὁρᾶν πρὸς
to-be-armed and the love and both to-look toward
πόλεμον. τὸ δὲ φρόνημα αὐτῷ παντοδαπὸν καὶ πανοῦργον
war the and mind to-him various and crafty
καὶ πρὸς ἅπασαν λαβὴν διαδιδράσκον. αἱ γὰρ ὁμιλίαι
and against every hold slipping-away the for conversations
τούτῳ ἀκριβεῖς καὶ τὰς ἀποκρίσεις ἐδίδου πανταχόθεν
to-him exact and the answers he-gave on-all-sides
ἀπεριδράκτους. καὶ τοιοῦτος ὢν καὶ τοσοῦτος μόνῳ τῷ
ungraspable and such being and so-great alone to-the
αὐτοκράτορι ἁλώσιμος ἦν καὶ τύχῃ καὶ λόγοις καὶ
autocrat capturable he-was both by-fortune and by-words and
τοῖς ἄλλοις τοῖς ἀπὸ τῆς φύσεως πλεονεκτήμασιν.
by-the other the from the nature advantages

Alexios touches lightly on the past, and Bohemond says he has not come to answer for it but to put himself in the emperor's hands. Alexios demands that he become his liege and order Tancred to surrender Antioch. Bohemond refuses and asks to go back to his camp, and Alexios offers to escort him himself. Then the caesar Nikephoros Bryennios, honored as panhypersebastos, takes him aside, persuades him with his eloquence to accept most of the terms, and leads him back to the emperor, and the agreement is sworn.

Ἀναμνήσας οὖν ὁ αὐτοκράτωρ αὐτὸν τῶν προτέρων
having-reminded then the autocrat him of-the former
ἐπιτροχάδην καὶ συνεσκιασμένως πως αὐτῷ παραστήσας
cursorily and shadowed somehow to-him having-presented
ἑτέραν λόγου περίοδον ἐποιήσατο. ὁ δὲ τὴν ἰδίαν συνείδησιν
another of-speech round made he and the own conscience
ἔχων ἐλέγχουσαν ἐπιτηδείως τὰς πρὸς τοὺς λόγους αὐτοῦ
having convicting cleverly the against the words his
ἐξέφυγεν ἀνθυποφορὰς τοῦτο μόνον φάμενος ὡς "οὐχὶ περὶ
escaped retorts this only saying that not about
τῶν τοιούτων ἀνακρίνεσθαι ἐλήλυθα. εἶχον γὰρ ἂν καὶ
the such(-things) to-be-questioned I-have-come I-would-have for — also
αὐτὸς πολλὰ λέγειν. τοῦ Θεοῦ δὲ ἐνταυθοῖ με συνελάσαντος
I much to-say — God and here me having-driven
πάντα τοῦ λοιποῦ τῷ σῷ ἀνατίθημι κράτει." ὁ δὲ
all for-the rest to-the your I-entrust sovereignty the and
βασιλεὺς πρὸς αὐτόν "τὰ μὲν παρεληλυθότα ἐατέον
emperor to him the(-things) indeed past to-be-let-be
τὸ νῦν, σὲ δέ, εἰ βούλει σπείσασθαι μεθ' ἡμῶν, πρῶτον
the now you and if you-wish to-make-a-treaty with us first
μὲν ἕνα τῶν ὑπὸ τὸ ἐμὸν κράτος χρὴ γενέσθαι, εἶτα
indeed one of-the under the my sovereignty it-is-needful to-become then

δηλῶσαι περὶ αὐτοῦ τε τούτου τῷ σῷ ἀνεψιῷ Ταγγρὲ
to-make-known about it both this to-the your nephew Tancred
ἐπισκῆψαί τε αὐτῷ, τοῖς ἐξ ἐμοῦ ἀποσταλεῖσι παραδοῦναι
to-enjoin both him to-the from me sent to-hand-over
τὴν Ἀντιόχειαν κατὰ τὰς γεγονυίας ἐξ ἀρχῆς συμφωνίας
— Antioch according-to the made from beginning agreements
ἡμῶν, εἶτα καὶ τἆλλα πάντα ὅσα τότε συμπεφώνηται
our then also the-other all as-many-as then had-been-agreed
ἡμῖν τηρῆσαί σε νῦν τε καὶ μετέπειτα". ταῦτα τοῦ
to-us to-keep you now both and hereafter these(-things) the
βασιλέως καὶ ἄλλα πλείω πρὸς αὐτὸν εἰπόντος τε
emperor and other more to him having-said both
καὶ ἀκούσαντος, ἐπεὶ ὁ αὐτὸς ἐκεῖνος ἦν Βαϊμοῦντος
and having-heard since the same that was Bohemond
καὶ οὐκ ἠλλοίωτο, ἔφη "ἀδυνάτως ἔχω τοιαύτην
and not had-been-changed he-said unable I-am such
ὑπόσχεσιν ποιήσασθαι" καὶ δι' ἄλλα τινὰ παρὰ τοῦ
promise to-make and because-of other some by the
βασιλέως ἀπαιτούμενα ἠτεῖτο τὴν πρὸς τὸ ἴδιον στράτευμα
emperor demanded asked the to the own army
ἐπανάζευξιν κατὰ τὴν γενομένην συμφωνίαν παρὰ τῶν
return according-to the made agreement by the
πρέσβεων. ὁ δὲ βασιλεύς φησι πρὸς αὐτὸν ὅτι "κρείττονα
envoys the and emperor says to him that better
ἐμοῦ οὐκ ἔχω τὸν μετὰ ἀσφαλείας σε διασώσοντα". καὶ
than-me not I-have the(-one) with safety you going-to-bring-safely and
ἅμα τῷ λόγῳ τοῖς ἡγεμόσι παρρησίᾳ ἐπέταττε τοῦ
at-the-same-time with-the word to-the leaders openly ordered of-the
στρατεύματος, ἑτοιμάσαι τοὺς ἵππους αὐτῶν, ἐφ' ᾧ τῆς
army to-prepare the horses their for which the
πρὸς τὸ Δυρράχιον φερούσης ἅψασθαι. τοῦτο ὁ Βαϊμοῦντος
to — Dyrrachion leading(-road) to-take-to this — Bohemond

ἀκούσας ἐξελθὼν ἐπὶ τῷ πρὸς τὴν ἀποτεταγμένην
having-heard having-gone-out for the to the assigned
αὐτῷ ἀπιέναι σκηνὴν τὸν ἐμὸν καίσαρα Νικηφόρον τὸν
to-him to-go-off tent the my caesar Nikephoros the
Βρυέννιον τῷ τοῦ πανυπερσεβάστου τότε τετιμημένον
Bryennios with-the of-the panhypersebastos then honored
ἀξιώματι ἐζήτει θεάσασθαι. ὁ δὲ ἐξελθὼν καὶ πᾶσαν
rank sought to-see he and having-gone-out and every
πειθὼ λόγων κινήσας, ὁποῖος ἐκεῖνος ἐν δημηγορίαις
persuasion of-words having-moved such-as he in harangues
καὶ διαλέξεσιν ἀπαράμιλλος, πείθει τὸν Βαϊμοῦντον τοῖς
and discussions incomparable persuades — Bohemond to-the
πλείστοις συνθέσθαι τῶν παρὰ τοῦ βασιλέως ῥηθέντων.
most to-agree of-the by the emperor said(-things)
κρατήσας οὖν αὐτὸν τῆς χειρὸς εἰσάγει πρὸς τὸν βασιλέα.
having-taken then him by-the hand brings-in to the emperor
τῇ δὲ μετ᾽ αὐτὴν ἐνωμότως καὶ μετὰ τῆς οἰκείας
on-the(-day) and after it on-oath and with the own
προαιρέσεως κατὰ τὸ δοκοῦν αὐτῷ τὴν συμφωνίαν
choice according-to the seeming to-him the agreement
ἐπλήρωσεν. εἶχε δὲ τὰ συμπεφωνημένα οὕτως.
fulfilled had and the agreed(-terms) thus

XXXIII · THE TREATY OF DEVOL

Bohemond's sworn text: the old agreement is void, and he becomes the liege man of Alexios and John, bound to fight every enemy of theirs, to hold no imperial land but what the chrysobull grants, to return what he conquers, and to make war on Tancred if he will not yield. He receives Antioch and its territory for life, with a patriarch the emperor appoints from Constantinople's clergy, while Cilicia, Laodikeia, and the coast stay with the emperor; he is promised Aleppo, Edessa, and two hundred pounds a year. It is sworn in September, 6617, before named witnesses.

" Ἡ μὲν προτέρα συμφωνία, ἥτις δὴ καὶ κατ' ἐκεῖνο
the indeed former agreement which indeed also at that
καιροῦ γέγονε πρὸς τὸ θεοστεφὲς κράτος σου, ὁπόταν μετὰ
time was-made with the God-crowned sovereignty your when with
τῆς πολυπληθοῦς ἐκείνης στρατιᾶς τῶν Φράγγων εἰς τὴν
the very-numerous that army of-the Franks to the
βασιλίδα πόλιν ἐπιδεδήμηκα διαβαίνων ἀπὸ τῆς Εὐρώπης
queen city I-came crossing from the Europe
εἰς τὴν Ἀσίαν ἐπὶ τῇ τῶν Ἱεροσολύμων ἐλευθερίᾳ, ἐπειδὴ
to — Asia for the — of-Jerusalem liberation since
κατά τινας περιπετείας πραγμάτων ἠθέτηται, ἐκείνη
by some reversals of-affairs has-been-set-aside that
μὲν σχολασάτω καὶ μὴ ἐχέτω τὸ ἐνεργὸν ὡς τὸ ἄκυρον
indeed let-it-rest and not let-it-have the force as the invalidity
ἀποφερομένη διὰ τὴν τῶν πραγμάτων περίστασιν. καὶ
bearing because-of the of-the affairs circumstance and
ἐξ ἐκείνης οὐ χρὴ κατ' ἐμοῦ δίκαιόν τι ἔχειν τὴν
from that not it-is-needful against me right any to-have the
βασιλείαν σου κἀντεῦθεν ἰσχυρίζεσθαι περὶ τῶν ἐν ἐκείνῃ
majesty your and-thence to-insist about the in that
συμπεφωνημένων τε καὶ ἀναγεγραμμένων. πόλεμον γὰρ
agreed both and written(-things) war for

ἀραμένου μου κατὰ τοῦ σοῦ θεοπροβλήτου κράτους καὶ
having-raised I against the your God-appointed sovereignty and
παραλύσαντος τὰ συμπεφωνημένα συμπαραλέλυται τούτοις
having-dissolved the agreed(-terms) are-dissolved-with these
καὶ τὰ ἀπὸ τοῦ σοῦ κράτους κατ᾽ ἐμοῦ αἰτιάματα. νῦν
also the from the your sovereignty against me charges now
δὲ αὖ ὥσπερ ἐκ μεταμελείας ἐρχόμενος καὶ ὥσπερ
and again as-if from repentance coming and like
ἁλιεὺς πληγεὶς καὶ ἀπενεγκάμενος νοῦν καὶ μονονουχὶ
a-fisherman stung and having-acquired sense and all-but
τῷ δόρατι τῷ σῷ νουνεχέστερος γεγονὼς καὶ τῆς
by-the spear the your wiser having-become and of-the
κατ᾽ ἐκεῖνο καιροῦ ἥττης καὶ τῶν πολέμων ἀναμνησθεὶς
at that time defeat and of-the wars having-remembered
εἰς ἑτέραν συμφωνίαν μετὰ τοῦ κράτους σου τρωπῶμαι
to another agreement with the sovereignty your I-turn
ταυτηνί, ὥστε λίζιον γενέσθαι τοῦ σκήπτρου σου ἄνθρωπον
this-here so-that liege to-become of-the scepter your man
καὶ ἵνα σαφέστερον εἴποιμι καὶ φανερώτερον, οἰκέτην καὶ
and that more-clearly I-may-say and more-plainly servant and
ὑποχείριον, ἐπειδὴ καὶ σὺ ὑπὸ τὴν σὴν δεξιὰν ἕλκειν
subject since also you under the your right-hand to-draw
ἐμὲ βεβούλησαι καὶ ἄνθρωπόν σου ἐθέλεις ποιήσασθαι
me have-wished and man your you-wish to-make
λίζιον. ἔσομαι τοίνυν ἀπὸ τοῦ νῦν κατὰ τὴν δευτέραν
liege I-shall-be therefore from the now according-to the second
ταυτηνὶ συμφωνίαν, ἣν καὶ φυλάττειν ἐς ἀεὶ βούλομαι
this-here agreement which also to-keep for ever I-wish
καὶ ἐπόμνυμι Θεόν τε καὶ πάντας τοὺς ἁγίους αὐτοῦ, ἐπεὶ
and I-swear-by God both and all the saints his since
καὶ ἐπὶ μάρτυσι τούτοις τὰ συμπεφωνημένα γράφεταί
also before witnesses these the agreed(-terms) are-written

τε καὶ λέγεται, ἄνθρωπος πιστὸς τῆς σῆς βασιλείας
both and are-spoken a-man faithful of-the your majesty
καὶ τοῦ περιποθήτου σου υἱοῦ καὶ βασιλέως κυρίου
and of-the much-beloved your son and emperor lord
Ἰωάννου τοῦ πορφυρογεννήτου, καὶ ὁπλίσομαι τὴν δεξιὰν
John the born-in-the-purple and I-will-arm the right-hand
κατὰ παντὸς ἀνθισταμένου τῷ κράτει σου, εἴτε τοῦ
against every opposing to-the sovereignty your whether of-the
Χριστιανικοῦ γένους ἐστὶν ὁ χεῖρας ἀνταράμενος εἴτε
Christian race is the(-one) hands having-raised-against or
καὶ ἀλλότριός ἐστι τῆς ἡμετέρας αὐλῆς, οὓς παγάνους
also foreign is to-the our court whom pagans
ἡμεῖς ὀνομάζομεν· ὥστε, ὅπερ καὶ τῷ προμνημονευθέντι
we call so-that what also in-the aforementioned
συμφώνῳ περιείχετο καὶ ἀμφοῖν τοῖν μεροῖν συνήρεσε,
agreement was-contained and to-both the parties was-pleasing
τῇ τε βασιλείᾳ ὑμῶν καὶ ἐμοί, τῶν ἄλλων ἀνῃρημένων
to-the both majesty your and to-me the others having-been-abolished
τοῦτο μόνον ἐκεῖθεν ἕλκω καὶ ἰσχυρίζομαι καὶ ἀπρὶξ
this only from-there I-draw and insist and tenaciously
ἔχομαι τὸ δοῦλον τῆς βασιλείας καὶ ἀμφοτέρων εἶναι
hold-to the servant of-the majesty and of-both to-be
καὶ λίζιον ἄνθρωπον ὥσπερ καταλυθὲν ἀνανεούμενος. καὶ
and liege man as-if dissolved renewing and
οὐδ' ἂν εἴ τι γένοιτο, εἰς ἀθέτησιν τούτου ἐλεύσομαι·
not-even — if anything should-happen to setting-aside of-this I-will-come
οὐδέ τις αἰτία ἔσται ἢ τρόπος φανερός τε καὶ ἀφανής,
nor any cause will-be or way open both and hidden
καθ' ὃν ἐγὼ παραβάτης τῶν συνθηκῶν καὶ τῶν νῦν
by which I transgressor of-the covenants and of-the now
συμπεφωνημένων φανήσομαι. ἀλλ' ἐπειδὴ λαμβάνω τὰ νῦν
agreed(-terms) shall-appear but since I-receive the now

τὴν ῥητῶς ἐνταυθοῖ δηλωθησομένην χώραν ἐν τοῖς μέρεσι
the expressly here going-to-be-shown land in the parts
τῆς ἀνατολῆς διὰ χρυσοβούλλου λόγου τῆς βασιλείας
of-the east through chrysobull word of-the majesty
σου, ἐν ᾧ καὶ τὸ κράτος τὸ σὸν ὑποσημαίνεται δι᾽
your in which also the sovereignty the your is-signed by
ἐρυθροβαφοῦς ὑπογραφῆς, ὃς δὴ χρυσόβουλλος λόγος
red-dyed signature which indeed chrysobull word
καὶ ἀμοιβαῖος γεγονὼς ἐπεδόθη μοι, δεχόμενος τὰς
also in-exchange having-become was-handed to-me receiving the
δοθείσας χώρας ὡς ἀπὸ τῆς βασιλείας ὑμῶν δεδωρημένας
given lands as from the majesty your bestowed
καὶ τὸ ἐνδύναμον ἔχων τῆς δωρεᾶς ἐκ τῆς χρυσοβούλλου
and the validity having of-the gift from the chrysobull
γραφῆς ἀντίδοσιν τῶν τοσούτων χωρῶν καὶ πόλεων
writing in-return of-the so-many lands and cities
δίδωμι τὴν πίστιν τὴν ἐμαυτοῦ πρὸς τὴν ὑμῶν βασιλείαν,
I-give the faith the my-own to the your majesty
σοῦ τε, τοῦ μεγάλου αὐτοκράτορος κυρίου Ἀλεξίου τοῦ
of-you both the great autocrat lord Alexios the
Κομνηνοῦ, καὶ τοῦ τριποθήτου υἱοῦ σου τοῦ βασιλέως
Komnenos and of-the thrice-beloved son your the emperor
κυρίου Ἰωάννου τοῦ πορφυρογεννήτου, ἣν ἀμετακίνητον
lord John the born-in-the-purple which immovable
καὶ ἀσάλευτον καθέξειν ὑπισχνοῦμαι καθάπερ ἄγκυραν
and unshaken to-hold I-promise like an-anchor
ἀσφαλῆ. καὶ ἵνα ἐπαναλάβω τὸν λόγον σαφέστερον καὶ
secure and that I-may-resume the word more-clearly and
τὴν ἰδιότητα φυλάξαιμι τῶν ἐγγράφως συμφωνούντων,
the precision may-keep of-the in-writing agreeing(-things)
ἰδοὺ ἐγὼ Βαϊμοῦντος υἱὸς Ῥομπέρτου Γισκάρδου συμφωνῶ
behold I Bohemond son of-Robert Guiscard agree

μετὰ τοῦ κράτους ὑμῶν καὶ τὴν συμφωνίαν ἀρραγῆ τίθημι
with the sovereignty your and the agreement unbroken I-set
φυλάττειν πρὸς τὴν βασιλείαν ὑμῶν, τοῦτ' ἔστι σέ τε, τὸν
to-keep toward the majesty your this is you both the
αὐτοκράτορα Ῥωμαίων κύριον Ἀλέξιον, καὶ τὸν βασιλέα
autocrat of-Romans lord Alexios and the emperor
καὶ υἱόν σου τὸν πορφυρογέννητον, καὶ τὸ λίζιον ἄνθρωπον
and son your the born-in-the-purple and the liege man
ἀνόθευτόν τε καὶ ἀπαραποίητον, ἕως ἂν ἐμπνέω
unadulterated both and unfeigned as-long-as — I-breathe
καὶ μετὰ τῶν ζώντων συναριθμῶμαι. καὶ ἐξοπλισαίμην
and with the living am-counted and I-would-arm
τὴν χεῖρα κατὰ τῶν ἐντεῦθεν ἀναφανησομένων ἐχθρῶν
the hand against the henceforth going-to-appear enemies
ὑμῶν καὶ τῆς βασιλείας τῆς ὑμετέρας τῶν ἀεισεβάστων
your and of-the majesty the your of-the ever-august
σεβαστῶν βασιλέων τῆς τῶν Ῥωμαίων ἡγεμονίας. καὶ
august emperors of-the of-the Romans dominion and
ἔνθα ἂν καὶ προσταχθείην ὑφ' ὑμῶν, μετὰ πάσης τῆς
wherever — also I-might-be-ordered by you with all the
περὶ ἐμὲ στρατιᾶς ἀπροφασίστως ἐκδουλεύσω κατὰ
around me army without-excuse I-will-serve according-to
τὴν παρισταμένην χρείαν. καὶ οἵτινες ἂν καὶ εἶεν
the present need and whoever — also may-be
δυσμενῶς ἔχοντες πρὸς τὸ ὑμέτερον κράτος, εἰ μή που
hostilely disposed toward the your sovereignty if not perhaps
τοῖς ἀθανάτοις ἀγγέλοις ἰσάζοιντ' ἂν καί εἰσι τοῖς
to-the immortal angels they-would-be-equal — and are to-the
ἡμετέροις δόρασιν ἄτρωτοι ἢ ἀδαμάντινά τινα περίκεινται
our spears unwoundable or adamantine some are-clothed-in
σώματα, κατὰ τούτων πάντων ὑπεραγωνισαίμην τῆς
bodies against these all I-would-fight-for the

βασιλείας ὑμῶν. καὶ εἰ μὲν ὑγιῶς ἔχω τοῦ σώματος καὶ
majesty your and if indeed healthy I-am in-the body and
ἐλευθεριάζω πολέμου τινὸς βαρβαρικοῦ τε καὶ Τουρκικοῦ,
am-free of-war some barbarian both and Turkish
αὐτὸς ἐγὼ τῷ ἐμῷ σώματι ἀγωνιοῦμαι τὸν ὑπὲρ ὑμῶν
myself I with-the my body will-contend the for you
πόλεμον μετὰ τοῦ ξυνεπομένου στρατεύματος. εἰ δὲ ἢ
war with the following army if and either
νόσῳ βαρείᾳ πεδοῦμαι, οἷα πολλὰ τὰ ἀνθρώπινα, ἢ
by-sickness heavy I-am-fettered as many the human(-things) or
πόλεμος ἐπικείμενος πρὸς ἑαυτὸν ἕλκει με, τότε δὴ τότε
war pressing to itself draws me then indeed then
ὑπισχνοῦμαι διὰ τῶν περὶ ἐμὲ γενναίων ἀνθρώπων μου
I-promise through the around me noble men my
τὴν δυνατὴν ἐξαποστέλλειν βοήθειαν ὡς ἐπανασῳζόντων
the possible to-send help as making-good
ἐκείνων τὸ ἐμὸν ἔλλειμμα. ἡ γὰρ ὀρθὴ πίστις, ἣν
those the my deficiency the for right faith which
σήμερον πρὸς τὴν βασιλείαν ὑμῶν δίδωμι, τοῦτο ἔστι
today toward the majesty your I-give this is
τὸ ἢ δι᾽ ἐμαυτοῦ ἢ δι᾽ ἑτέρων, καθάπερ εἴρηται,
the either through myself or through others as has-been-said
ἀνακρωτηρίαστα διατηρεῖν τὰ τῆς συμφωνίας. ὀρθήν
unmutilated to-preserve the(-terms) of-the agreement right
τε πίστιν φυλάττειν διόμνυμι καὶ καθόλου καὶ κατὰ
and faith to-keep I-swear both in-general and in
μέρος ὑπὲρ τοῦ ὑμετέρου κράτους καὶ τῆς ὑμετέρας
particular for the your sovereignty and the your
ζωῆς, ταυτησὶ λέγω τῆς κάτω τε καὶ γηΐνης. ὑπὲρ γὰρ
life this-here I-mean the below both and earthly for for
τῆς τοιαύτης ὑμῶν ζωῆς σιδηροῦς τις ἀνδριὰς καὶ
the such your life iron a-certain statue and

σφυρήλατος γενοίμην τοῖς ὅπλοις. ἀλλὰ μέχρι καὶ τῆς
hammer-wrought may-I-become by-the arms but as-far-as also the
τιμῆς τῆς ὑμετέρας καὶ μέχρι τῶν βασιλικῶν ὑμῶν μελῶν
honor the your and as-far-as the imperial your limbs
ἐκτείνω τὸν ὅρκον, εἴ τις αὐτοῖς ἐπιβουλεύεται κάκωσις
I-extend the oath if any against-them is-plotted harm
παρά τινων ἀλιτηρίων ἐχθρῶν, οὓς δυνατόν ἐστιν ἐμὲ
by some wicked enemies whom possible it-is me
καταλύειν καὶ ἀπείργειν τοῦ κακοῦ ἐγχειρήματος. ἀλλὰ
to-destroy and to-keep-off from-the evil undertaking but
καὶ ὑπὲρ πάσης χώρας τῆς ὑμετέρας καὶ πόλεως μικρᾶς
also for every land the your and city small
τε καὶ μείζονος καὶ νήσων αὐτῶν καὶ ἁπαξαπλῶς, ὁπόση
both and greater and islands themselves and in-a-word as-much-as
τίς ἐστι γῆ τε καὶ θάλασσα ὑπὸ τὰ ὑμέτερα σκῆπτρα
some is land both and sea under the your scepters
ἐξ αὐτοῦ δήπουθεν τοῦ Ἀδριαντικοῦ πελάγους καὶ ἄχρι
from itself surely the Adriatic sea and as-far-as
πάσης ἀνατολῆς καὶ κατὰ μῆκος τῆς μεγάλης Ἀσίας,
all east and in length of-the great Asia
ἔνθα τὰ τῶν Ῥωμαίων ὁρίσματα ἦν. ἔτι συμφωνῶ,
where the of-the Romans boundaries were further I-agree
καὶ ἔσται τῶν συμπεφωνημένων μάρτυς καὶ ἐπήκοος
and will-be of-the agreed(-terms) witness and hearer
ὁ Θεός, μηδεμίαν μηδέποτε χώραν τεταγμένην ὑπὸ τὰ
— God no ever land placed under the
ὑμέτερα σκῆπτρα εἴτε νῦν εἴτε πρότερον μήτε πόλιν
your scepters whether now or formerly nor city
ἢ νῆσον κρατεῖν τε καὶ ἔχειν, καὶ ἁπλῶς, ὁπόσα ἡ
or island to-hold both and to-have and simply as-many-as the
βασιλεία Κωνσταντινουπόλεως περιεῖχεν ἢ νῦν κατέχει
empire of-Constantinople comprised or now holds

κατά τε τὴν ἀνατολὴν καὶ δύσιν, ἐκτὸς τῶν ῥητῶς
in both the east and west except the expressly
δεδωρημένων μοι παρὰ τοῦ θεοπροβλήτου κράτους ὑμῶν,
bestowed-on me by the God-appointed sovereignty your
ἃ καὶ κατ' ὄνομα δηλωθήσεται ἐν τῷ παρόντι ἐγγράφῳ.
which also by name will-be-shown in the present document
ἀλλ' ὁπόσην ἂν δυνηθείην χειρώσασθαι χώραν τελοῦσάν
but as-much — I-might-be-able to-subdue land being
ποτε ὑπὸ τὴν βασιλείαν ταύτην ἀπωσάμενος τοὺς τὴν
once under the empire this having-thrust-away the(-men) the
χώραν ἐκείνην κατέχοντας, εἰς τὴν γνώμην τὴν ὑμετέραν
land that holding to the mind the your
ἀναρτᾶν ὀφείλω τὴν περὶ ταύτης οἰκονομίαν. καὶ εἰ
to-refer I-am-bound the about it management and if
μὲν ἐμὲ βούλεσθε ἐπιτροπεύειν τῆς κυριευθείσης χώρας
indeed me you-wish to-govern of-the mastered land
ὡς ἄνθρωπον ὑμέτερον λίζιον καὶ δοῦλον πιστόν, ἔσται
as man your liege and servant faithful it-will-be
τοῦτο· εἰ δ' οὖν, ἀλλὰ παραδοίην ἄν, ᾧ ἂν ἀνδρὶ
this if but then but I-would-hand-over — to-whatever — man
ἡ βασιλεία ὑμῶν βουληθείη, μὴ ἀμφιβάλλων κατά τι
the majesty your should-wish not doubting in any
τὸ σύνολον. χώραν δὲ οὐ δέξομαι ἀφ' ἑτέρου τινὸς
the whole land and not I-will-accept from other any
προδιδομένην ἐμοὶ ἢ πόλιν τινὰ ἢ πολίχνιον, ἅπερ ποτὲ
being-betrayed to-me or city some or little-town which once
ὑπὸ τὴν τῆς βασιλείας ἐξουσίαν ἐτύγχανον, ὡς ἐμοὶ
under the of-the empire authority happened(-to-be) as to-me
διαφέροντα· ἀλλὰ καὶ τὰ πολιορκίᾳ κρατούμενα καὶ
belonging but also the(-things) by-siege mastered and
τὰ ἄνευ πολιορκίας, ὑμέτερα δ' ἦσαν καὶ πάλιν
the(-things) without siege yours and were and again

ὑμέτερα ἔσονται μηδ᾽ ὁπωστιοῦν δικαιολογουμένου μου
yours will-be not-even in-any-way pleading I
περὶ τούτων. ἀλλ᾽ οὐδὲ ὅρκον δέξομαι παρά τινος
about these but not-even oath I-will-accept from any
Χριστιανοῦ ἢ δώσω πρὸς ἕτερον ἢ συμφωνίαν ἠντιναοῦν
Christian or will-give to another or agreement any
πρὸς βλάβην ὑμετέραν ὁρῶσαν ἢ πρὸς ζημίαν καὶ ὑμῶν
to harm your looking or to loss both of-you
καὶ τῆς βασιλείας τῆς ὑμετέρας. ἀλλ᾽ οὐδὲ ἄνθρωπος
and of-the majesty the your but not-even man
ἑτέρου γενήσομαι ἢ ἑτέρας ἀρχῆς μείζονος ἢ ἐλάσσονος
of-another I-shall-become or of-other rule greater or lesser
ἄνευ τοῦ κράτους τοῦ ὑμετέρου· ἀλλὰ μία κυριότης
without the sovereignty the your but one lordship
ἐμοί, ᾗ ὑπισχνοῦμαι δουλεύειν, ἡ βασιλεία σοῦ τε
for-me which I-promise to-serve the majesty of-you both
καὶ τοῦ τριποθήτου υἱοῦ σου. τοὺς δὲ προσερχομένους
and of-the thrice-beloved son your the and coming
μοι ἀνθρώπους τῆς βασιλείας σου ὡς κατεξαναστάντας
to-me men of-the majesty your as having-risen-against
τοῦ κράτους τοῦ σοῦ καὶ ἐμοὶ ἐκδουλεύειν ἐθέλοντας
the sovereignty the your and me to-serve wishing
καὶ μισήσω καὶ ἀποπέμψομαι, μᾶλλον δὲ κατ᾽ αὐτῶν
both I-will-hate and send-away rather and against them
ἐξοπλίσομαι. τοὺς δὲ ἄλλους βαρβάρους, *** ἐθέλοντας
I-will-arm-myself the and other barbarians (lacuna) wishing
δὲ ὅμως ὑπὸ τὸ ἐμὸν δόρυ γίνεσθαι, δεξαίμην μέν,
and nevertheless under the my spear to-come I-would-accept indeed
ἀλλ᾽ οὐκ ἰδίῳ προσώπῳ· ὁρκιῶ δὲ τούτους ἕνεκα
but not in-own person I-will-swear and them for-the-sake
σοῦ τε καὶ τοῦ περιποθήτου υἱοῦ σου καὶ τὰς ἐξ
of-you both and of-the much-beloved son your and the from

αὐτῶν χώρας παραλήψομαι δικαίῳ τῆς βασιλείας τῆς
them lands I-will-take-over by-right of-the majesty the
ὑμετέρας καὶ ἐντεῦθεν τὸ ὑπὲρ αὐτῶν προσταττόμενον
your and thence the for them ordered(-thing)
ἀπροφασίστως ποιεῖν ἐπαγγέλλομαι. ταῦτα μὲν περὶ
without-excuse to-do I-promise these(-things) indeed about
τῶν πόλεων καὶ τῶν χωρῶν, ὅσαι ὑπὸ τὸ σκῆπτρον
the cities and the lands as-many-as under the scepter
τῆς Ῥωμαίων τύχης ἐτύγχανον οὖσαι· περὶ δὲ τῶν
of-the of-Romans fortune happened being about and the
μηδέπω δεδουλευκότων τῇ Ῥωμανίᾳ, ταῦτα ἐνόρκως
not-yet having-been-subject — to-Romania these(-things) on-oath
κατεπαγγέλλομαι, ὡς ἵνα τάς τε προσερχομένας μοι
I-promise as that the both coming to-me
χώρας ἄνευ πολέμου ἢ καὶ μετὰ πολέμου καὶ μάχης
lands without war or also with war and battle
καὶ ταύτας ἁπάσας ὡς ἀπὸ τῆς ὑμετέρας βασιλείας
also these all as from the your majesty
λογίζωμαι, εἴτε Τουρκικαί εἰσιν, εἴτε Ἀρμενικαὶ καί,
I-should-reckon whether Turkish they-are or Armenian and
ὡς ἄν τις εἴποι τῶν τὴν ἡμετέραν ἐπισταμένων
as — someone might-say of-the(-men) the our knowing
φωνήν, Παγανικαὶ ἢ Χριστιανικαί, τούς τε ἀπὸ τῶν
tongue pagan or Christian the both from the
ἐθνῶν προσιόντας μοι καὶ δουλεύειν ἐμοὶ βουλομένους,
nations coming to-me and to-serve me wishing
οὕτως ἵνα τούτους παραδέχωμαι, ὡς εἶναι καὶ αὐτοὺς
thus that these I-receive so-that to-be also they
μέλλοντας ἀνθρώπους τῆς βασιλείας ὑμῶν· καὶ διαβαίνοι
going-to-be men of-the majesty your and should-extend
καὶ πρὸς τούτους ἡ ἐμὴ συμφωνία πρὸς τὸ κράτος
also to these the my agreement with the sovereignty

τῆς βασιλείας καὶ οἱ κατεμπεδωθέντες ὅρκοι. καὶ τούτων
of-the majesty and the confirmed oaths and of-these
αὐτῶν, οὓς μὲν ἂν ἐθέλοιτε ὑμεῖς οἱ ἀεισέβαστοι βασιλεῖς
themselves whom indeed — should-wish you the ever-august emperors
ὑπ᾽ ἐμὲ τάττεσθαι, τάττοιντ᾽ ἄν· οὓς δὲ πέμπειν
under me to-be-ranked they-would-be-ranked — whom and to-send
πρὸς τὸ ὑμέτερον κράτος βούλεσθε, βουλομένων κἀκείνων
to the your sovereignty you-wish wishing also-those
ἀποστελῶ, μὴ βουλομένων δέ, ἀλλ᾽ ἀπαναινομένων τὴν
I-will-send not wishing and but refusing the
πρὸς ὑμᾶς δουλείαν, οὐδὲ ἐγὼ παραδέξομαι. πρὸς μέντοι
toward you servitude not-even I will-receive with however
τὸν Ταγγρὲ καὶ ἀνεψιόν μου ἀκήρυκτον ἔξω πόλεμον,
— Tancred also nephew my unproclaimed I-will-have war
εἰ μὴ ἐθελήσει καθυφεῖναί τι τῆς πρὸς τὴν βασιλείαν
if not he-will-wish to-give-up something of-the toward the majesty
ὑμῶν δυσμενείας μηδὲ ἀπολύει τῆς χειρὸς αὐτοῦ τὰς
your hostility nor releases from-the hand his the
πόλεις τῆς ὑμετέρας βασιλείας. ἐπὰν δὲ καὶ θέλοντος
cities of-the your majesty when and even willing
αὐτοῦ ἢ καὶ μὴ θέλοντος ἀναρρυσθῶσιν αἱ πόλεις, αὐτὸς
he or also not willing are-recovered the cities I
μὲν ἵνα δεσπόζω τῇ ἀντιλήψει τοῦ κράτους ὑμῶν τὰ
indeed that I-may-be-master by-the help of-the sovereignty your the
διὰ χρυσοβούλλου λόγου δεδωρημένα μοι, ἃ καὶ ῥητῶς
by chrysobull word bestowed-on me which also expressly
ἐξαριθμηθήσεται, αἱ δὲ πόλεις ἐκεῖναι μετὰ τῆς ἐν Συρίᾳ
will-be-enumerated the and cities those with the in Syria
Λαοδικείας καὶ ὅσαι εἰσὶν ἐκτὸς τῶν δεδωρημένων
Laodikeia and as-many-as are outside the bestowed
ἐμοὶ τῷ σκήπτρῳ ὑμῶν προσαρμόζωνται. ἀλλ᾽ οὐδὲ
on-me to-the scepter your should-be-joined but not-even

τοὺς τῆς βασιλείας ὑμῶν φυγάδας προσδέξομαί ποτε,
the of-the majesty your fugitives I-will-receive ever
ἀλλὰ παλιμπορεύτους ποιήσω καὶ ὑποτροπιάζειν πρὸς
but back I-will-make and to-return to
τὴν βασιλείαν ὑμῶν ἀναγκάσω. ἔτι καθυπισχνοῦμαι
the majesty your I-will-compel further I-promise
καὶ ταυτὶ πρὸς τοῖς ἄνωθεν εἰρημένοις βεβαιοτέρας
also these-here besides the above said more-firm
τὰς συμφωνίας ποιούμενος. συμφωνῶ γάρ, ἵνα ἐγγυητὰς
the agreements making I-agree for that sureties
ἀποδοίην ἐπὶ ταύταις ταῖς συμφωνίαις, ὥστε ἀπαραβάτους
I-may-give for these the agreements so-that inviolable
καὶ ἀπαραθραύστους μένειν ἐς τὸ διηνεκές, τοὺς μέλλοντας
and unbreakable to-remain for the continuous the going-to
ἀνθρώπους μου ἐμῷ δικαίῳ κατέχειν τὴν δεδομένην μοι
men my by-my right to-hold the given to-me
χώραν παρὰ τῆς βασιλείας σου καὶ τὰς πόλεις καὶ τὰ
land by the majesty your and the cities and the
πολίχνια, ἃ καὶ πρὸς ὄνομα ἐκτεθήσεται. παρασκευάσω
little-towns which also by name will-be-set-out I-will-cause
γὰρ καὶ τούτους ὀμόσαι τὰ φρικωδέστατα, ὡς ἂν καὶ
for also these to-swear the most-dreadful(-oaths) that — also
οὗτοι φυλάττωσι πίστιν ὀρθὴν πρὸς τὸ ὑμέτερον κράτος
these keep faith right toward the your sovereignty
καὶ ὁπόσην ὁ τῶν Ῥωμαίων κοσμεῖ θεσμὸς καὶ πάντα
and as-much-as the of-the Romans adorns law and all
τὰ ἐν τῇ παρούσῃ συμφωνίᾳ ἐγγεγραμμένα στέργωσιν
the in the present agreement written they-may-abide-by
ἀκριβέστατα. καὶ ὁρκιῶ τούτους εἰς τὰς ἐπουρανίους
most-precisely and I-will-swear them by the heavenly
δυνάμεις καὶ τὴν ἄστεκτον ὀργὴν τοῦ Θεοῦ, ὡς εἴ ποτε
powers and the unbearable wrath — of-God that if ever

βουλευσαίμην κατὰ τῆς βασιλείας ὑμῶν, ὃ μὴ γένοιτο,
I-should-plot against the majesty your which not may-it-happen
μὴ ὦ σῶτερ, μὴ ὦ δίκη Θεοῦ, πάντα τρόπον ἐκεῖνοι
not O savior not O justice of-God every way they
σπουδάζωσι πρῶτον μὲν διὰ τεσσαρακονθημέρου τινὸς
may-strive first indeed through forty-day some
διαστήματος ἐπαναγαγεῖν με εἰς τὴν πίστιν τῆς βασιλείας
interval to-bring-back me into the faith of-the majesty
ὑμῶν καθάπαξ τραχηλιάσαντα. τοῦτο δ' ἂν γένοιτο, εἰ
your once having-bucked this and — would-happen if
καὶ γενέσθαι παραχωρηθείη, μανίας ἄντικρυς καὶ λύττης
also to-happen it-should-be-allowed madness outright and rage
καταλαβούσης ἐμὲ ἢ ὅταν δηλονότι τὰς φρένας ἐλαύνωμαι.
having-seized me or when evidently in-the wits I-am-driven
εἰ δ' ἀνοήτως ἔχω καὶ ἀστεμφῶς πρὸς τὰς παραινέσεις
if and senseless I-am and unmoved to the exhortations
ἐκείνων καὶ λάβρως ἐπαιγίζει τὰ τῆς λύττης τὴν
their and violently rushes the(-things) of-the rage the
ψυχὴν τὴν ἐμήν, ἀλλὰ τότε γε ἐξομόσονται μὲν ἐμὲ
soul the my but then at-least they-will-forswear indeed me
καὶ πάντα τρόπον ἀποπροσποιήσονται, μεταθῶνται δὲ
and every way will-disown may-transfer and
πρὸς τὸ ὑμέτερον κράτος καὶ χεῖρα καὶ γνώμην καὶ τὰς
to the your sovereignty both hand and mind and the
χώρας, ἃς ἐμῷ δικαίῳ κατέχουσιν, ἀποσπάσοντες τῆς
lands which by-my right they-hold going-to-wrest from-the
ἐμῆς ἐξουσίας ὑμῖν καὶ τῷ μέρει τῷ ὑμετέρῳ παραδοῖεν.
my authority to-you and to-the party the your should-hand-over
ταῦτα δὲ ἐνωμότως ποιεῖν καταναγκασθήσονται καὶ τὴν
these(-things) and on-oath to-do they-will-be-compelled and the
αὐτὴν φυλάξουσι πίστιν καὶ δουλείαν καὶ εὔνοιαν πρὸς
same will-keep faith and servitude and goodwill toward

ὑμᾶς, ἣν κἀγὼ συμπεφώνηκα, καὶ ὑπὲρ τῆς ὑμετέρας
you which I-too have-agreed and for the your
ζωῆς καὶ τῆς ἐπιγείου τιμῆς ἀροῦνται τὰ ὅπλα, ἀλλὰ
life and the earthly honor will-take-up the arms but
καὶ ὑπὲρ τῶν ὑμετέρων βασιλικῶν μερῶν καὶ μελῶν, ὡς
also for the your imperial parts and limbs that
μή τι πάθοιεν παρά τινος ἐχθροῦ, πολεμησείοντες
not anything they-might-suffer from any enemy desiring-war
οὐκ ἀνήσουσιν, εἴ γε τέως εἰς αἴσθησιν ἔλθοιεν
not they-will-cease if at-least meanwhile to perception they-should-come
τῶν ἐπιβούλων καὶ σφαλερῶν. ταῦτα ἐπόμνυμι καὶ
of-the plotters and dangerous(-things) these(-things) I-swear and
διαμαρτύρομαι καὶ Θεὸν καὶ ἀνθρώπους καὶ τοὺς
call-to-witness both God and men and the
ὑπερτάτους ἀγγέλους, ὡς ἄρα καταναγκάσω φρικαλέοις
highest angels that after-all I-will-compel by-dreadful
ὅρκοις αὐτοὺς κατειληφὼς ποιεῖν τε καὶ πράττειν εἰς
oaths them having-bound to-do both and to-act to
δύναμιν· ὡς δὲ καὶ ὑπὲρ τῶν κάστρων τῶν ὑμετέρων καὶ
power as and also for the fortresses the your and
τῶν πόλεων καὶ χωρῶν καὶ ἁπλῶς τῶν ὅλων μερῶν τῶν
the cities and lands and simply the whole parts the
ὑπὸ τὴν βασιλείαν ὑμῶν, ὅσα ἡ δύσις ἔχει, ὅσα ἡ
under the majesty your as-many-as the west has as-many-as the
ἀνατολὴ περιέχει, ἐνόρκως τὰ αὐτὰ συμφωνήσουσιν ἃ
east contains on-oath the same(-things) they-will-agree which
κἀγὼ πρὸς ὑμᾶς συμπεφώνηκα· καὶ ταῦτα ποιήσουσι καὶ
I-too to you have-agreed and these(-things) they-will-do both
ζῶντος ἐμοῦ καὶ ἀποτεθνηκότος· καὶ ἕξει καὶ τούτους τὸ
living I and having-died and will-have also these the
κράτος ὑμῶν ἀνθρώπους ὑποχειρίους καὶ χρήσει τούτοις
sovereignty your men subject and will-use them

ὅσα καὶ ὑπηρέταις πιστοῖς. καὶ ὅσοι μὲν ἐνταυθοῖ
as-much-as also servants faithful and as-many-as indeed here
τυγχάνουσι συνεπιδημοῦντες ἐμοί, αὐτίκα καὶ τὰς ἐνόρκους
happen staying-with me at-once also the sworn
πίστεις καὶ τὰς συμφωνίας δώσουσι πρὸς ὑμᾶς τοὺς
pledges and the agreements will-give to you the
σεβαστούς, τόν τε κύριον Ἀλέξιον καὶ αὐτοκράτορα τῶν
august(-ones) the both lord Alexios and autocrat of-the
Ῥωμαίων καὶ τὸν πορφυρογέννητον βασιλέα καὶ σὸν υἱόν,
Romans and the born-in-the-purple emperor and your son
ὅσοι δὲ ἀπῶσι τῶν ἐμῶν ἱππέων καὶ ὁπλιτῶν, οὓς
as-many-as and are-absent of-the my horsemen and armed(-men) whom
καβαλλαρίους συνήθως καλοῦμεν, ἀποστειλάσης ἄνθρωπον
knights customarily we-call having-sent man
τῆς βασιλείας σου κατὰ τὴν Ἀντιόχειαν πόλιν, ἐκεῖ
the majesty your to — Antioch city there
τοὺς αὐτοὺς ὅρκους ἀποτελέσουσι κἀκεῖνοι, ὁρκιοῦντος
the same oaths will-perform also-they going-to-swear
μὲν αὐτοὺς τοῦ ἀνθρώπου τῆς βασιλείας σου, ἐμοῦ δέ,
indeed them the man of-the majesty your I and
ἐπόμνυμι τοῦτο, παρασκευάσοντος ὀμόσαι τοὺς ἄνδρας
I-swear this going-to-cause to-swear the men
καὶ συμφωνῆσαι τὰ αὐτά τε καὶ ἀπαράλλακτα. προσέτι
and to-agree the same both and unaltered further
συμφωνῶ καὶ ἐπόμνυμι, ὡς ἄρα καθ’ ὧν μὲν ἂν
I-agree and swear that after-all against whom indeed —
βούληται ἡ βασιλεία ὑμῶν τῶν κατεχόντων πόλεις
should-wish the majesty your of-the(-men) holding cities
καὶ χώρας, αἵ ποτε ὑπέκειντο τῇ βασιλείᾳ τῆς
and lands which once were-subject to-the empire —
Κωνσταντινουπόλεως, ἀντάρασθαι χεῖρας καὶ ξυγκροτήσειν
of-Constantinople to-raise hands and to-wage

πόλεμον, τοῦτο ποιήσω κἀγὼ καὶ ὁπλοποιήσομαι κατ᾽
war this I-will-do I-too and arm-myself against
αὐτῶν. καθ᾽ ὧν δὲ οὐκ ἔστι σοι θυμῆρες στρατὸν κινῆσαι,
them against whom and not it-is to-you pleasing army to-move
οὐδὲ αὐτοὶ κατ᾽ ἐκείνων στρατεύσαιμεν. διὰ πάντων
not-even we against those would-campaign through all
γὰρ βουλόμεθα θεραπεύειν τὸ ὑμέτερον κράτος καὶ πᾶσαν
for we-wish to-serve the your sovereignty and every
πρᾶξιν καὶ πᾶσαν βούλησιν τῆς σῆς βουλήσεως ἐξαρτᾶν.
deed and every wish on-the your wish to-hang
τῶν τε Σαρακηνῶν καὶ τῶν ἐκ τοῦ Ἰσμαὴλ ὁπόσοι
of-the both Saracens and of-the from — Ismael as-many-as
συρρέουσιν εἰς τὴν βασιλείαν σου ἠὐτομοληκότες καὶ τὰς
stream into the majesty your having-deserted and the
πόλεις αὐτῶν παραδιδόντες, οὔτε ἀποκωλύσω οὔτε διὰ
cities their handing-over neither I-will-binder nor with
σπουδῆς θείην ὑποποιήσασθαι ἐμαυτῷ, εἰ μή που ἄρα
zeal I-would-set to-win-over for-myself if not perhaps after-all
διὰ τοῦ ἐμοῦ δόρατος καταναγκασθὲν τὸ μέρος ἐκεῖνο καὶ
through the my spear compelled the party that and
πανταχόθεν στενοχωρηθὲν πρὸς τὸ κράτος τὸ σὸν ἀπέβλεψε
from-everywhere hard-pressed to the sovereignty the your looked
κίνδυνον ὑφορώμενον καὶ τὴν σωτηρίαν ἑαυτῷ ἐκ τοῦ
danger suspecting and the safety for-itself from the
προσέρχεσθαί σοι πραγματευόμενον. ἀλλὰ τοὺς τοιούτους
coming to-you procuring but the such
τε πάντας καὶ ὅσοι τὸ Φραγγικὸν πεφοβημένοι
both all and as-many-as the Frankish having-feared
ξίφος καὶ τὸν ἐπηρτημένον θάνατον ἀποκλίναντες τοὺς
sword and the impending death having-turned-aside the
σεβαστοὺς βασιλέας ἐπικαλοῦνται ὑμᾶς *** οὐ διὰ
august emperors invoke you (lacuna) not because-of

τοῦτο ἀνθέξεσθε τῶν ἡμετέρων δορυαλώτων, ἀλλὰ δηλονότι
this you-will-claim the our captives but evidently
τῶν ἄνευ πόνων καὶ κόπων ἡμετέρων καὶ ἐθελουσίως
the(-ones) without toils and labors our and willingly
εἰς τὴν ὑμετέραν δούλωσιν ἐρχομένων. πρὸς τοῖς
into the your servitude coming in-addition-to the
ἄλλοις καὶ ταυτὶ συμφωνῶ, ὅτι τοι ὅσοι ἂν ἐθέλωσι
others also these-here I-agree that surely as-many-as — should-wish
διαπερᾶσαι μετ' ἐμοῦ τὸν Ἀδρίαν ἀπὸ Λογγιβαρδίας ἄνδρες
to-cross with me the Adriatic from Lombardy men
στρατιῶται, ὀμοῦνται καὶ αὐτοὶ καὶ συμφωνήσουσι τῇ
soldiers will-swear also they and will-agree to-the
δουλείᾳ τῆς βασιλείας σου, ὁρκίζοντος δηλονότι τούτους
servitude of-the majesty your swearing evidently them
ξύμπαντας ἀνθρώπου τινὸς τοῦ ὑμετέρου κράτους, ὃν ἂν
all a-man some of-the your sovereignty whom —
αὐτοὶ ἐπὶ τούτῳ αὐτῷ ἀποστείλητε κατὰ τὸ πέραν Ἀδρίου.
you for this itself should-send to the other-side of-Adriatic
εἰ δ' ἀποπηδῶσι τὸν ὅρκον, μὴ ἄλλως ἐᾶσαι διαπερᾶν
if and they-leap-away-from the oath not otherwise to-allow to-cross
ὡς τὰ αὐτὰ φρονεῖν ἡμῖν ἀπαναινομένους. δεῖ
as the same(-things) to-think with-us refusing it-is-needful
δὲ καὶ τὰς διὰ χρυσοβούλλου λόγου δωρηθείσας μοι
and also the(-ones) by chrysobull word bestowed-on me
παρὰ τοῦ θεοπροβλήτου κράτους ὑμῶν χώρας καὶ πόλεις
by the God-appointed sovereignty your lands and cities
ἐκθεῖναι ἐν τῷ παρόντι συγγράμματι· ἡ κατὰ τὴν Κοίλην
to-set-out in the present document the in — Koile
Συρίαν Ἀντιόχου πόλις μετὰ τῆς περιοχῆς αὐτῆς καὶ τῆς
Syria of-Antiochos city with the territory its and the
διακρατήσεως σὺν αὐτῷ Σουετίῳ, ὃ παρὰ τὴν θάλασσαν
dependencies with itself Souetion which by the sea

ἥδρασται· τὸ Δοὺξ μετὰ τῆς διακρατήσεως αὐτοῦ πάσης
is-founded — Doux with the dependencies its all
σὺν τῷ τοῦ Καυκᾶ τό τε τοῦ Λουλοῦ λεγόμενον καὶ
with the(-fort) — of-Kaukas the both — of-Loulos called and
τὸ τοῦ Θαυμαστοῦ Ὄρους καὶ τὰ Φέρσια μετὰ τῆς ὑπ᾽
the of-the Wonderful Mountain and — Phersia with the under
αὐτὰ πάσης χώρας· ὁ Ἅγιος Ἠλίας ἡ στρατηγὶς μετὰ
them all land — Saint Elias the strategis with
τῶν ὑπ᾽ αὐτὴν πολιχνίων· ἡ στρατηγὶς τὸ Βορζὲ καὶ τὰ
the under it little-towns the strategis — Borze and the
ὑπὸ ταύτην πολίχνια· ἡ περὶ τὴν στρατηγίδα τὸ Σέζερ
under it little-towns the about the strategis — Sezer
ἅπασα χώρα, ἥντινα Λάρισσαν Ἕλληνες ὀνομάζουσιν· ὡς
whole land which Larissa Hellenes call as
δὲ καὶ τὸ Ἀρτὰχ καὶ τὸ Τελοὺχ αἱ στρατηγίδες μετὰ
and also — Artach and — Telouch the strategides with
τῆς ἑκάστης περιοχῆς· σὺν τούτοις ἡ Γερμανίκεια καὶ
the each territory with these — Germanikeia and
τὰ ὑπὸ ταύτην πολίχνια· τὸ Μαῦρον Ὄρος καὶ πάντα
the under it little-towns the Black Mountain and all
τὰ ὑπ᾽ ἐκεῖνο ταττόμενα κάστρα καὶ ἡ ὑποκειμένη
the under it ranked forts and the lying-beneath
τούτῳ σύμπασα πεδιὰς ἄνευ δηλονότι τῆς τῶν Ῥουπενίων
it whole plain without evidently the of-the Roupenians
διακρατήσεως Λέοντός τε καὶ Θεοδώρου τῶν Ἀρμενίων
dependencies of-Leo both and of-Theodore of-the Armenians
γεγονότων ἀνθρώπων τοῦ κράτους ὑμῶν· μετὰ τῶν
having-become men of-the sovereignty your with the
ἀναγεγραμμένων τὸ στρατηγάτον Παγρᾶς, τὸ στρατηγάτον
recorded(-places) the strategaton of-Pagras the strategaton
Παλατζά, τὸ θέμα τοῦ Ζοῦμε καὶ τὰ ὑπὸ ταῦτα πάντα
of-Palatza the theme — of-Zoume and the under these all

κάστρα τε καὶ πολίχνια καὶ ἡ ἑκάστῳ προσήκουσα
forts both and little-towns and the to-each belonging
χώρα. ταῦτα γὰρ πάντα κἀκεῖ περιέχεται ἐν τῷ
land these(-things) for all also-there are-contained in the
χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας ὑμῶν ὡς δεδωρημένα
chrysobull word of-the majesty your as bestowed-on
μοι παρὰ τοῦ θείου κράτους μέχρι πέρατος τῆς ἐμῆς
me by the divine sovereignty until end of-the my
βιοτῆς, ὡς ὀφειλόντων μετὰ τὴν ἐνθένδε μου μετάστασιν
life as being-bound after the hence my departure
εἰς τὴν βασιλείαν ἐπανακάμπτειν τῆς νέας Ῥώμης καὶ
to the empire to-return of-the new Rome and
βασιλίδος τῶν πόλεων Κωνσταντινουπόλεως, ἐφ' ᾧ
queen of-the cities Constantinople for which
φυλάττειν πίστιν ἀκραιφνεστάτην καὶ εὔνοιαν καθαρὰν
to-keep faith most-pure and goodwill clean
δι' ὑμῶν τῶν ἀεισεβάστων σεβαστῶν βασιλέων εἰς τὴν
through you the ever-august august emperors to the
βασιλείαν αὐτῆς καὶ τοῦ θρόνου ταύτης καὶ τῆς βασιλικῆς
empire of-it and the throne its and the imperial
ῥάβδου δοῦλον εἶναι καὶ λίζιον ὑποχείριον. συμφωνῶ δὲ
scepter servant to-be and liege subject I-agree and
καὶ ὄμνυμι τὸν ἐν τῇ ἐκκλησίᾳ Ἀντιοχείας πρεσβευόμενον
also swear-by the in the church of-Antioch venerated
Θεόν, ὡς οὐκ ἐκ τοῦ ἡμετέρου γένους πατριάρχης
God that not from the our race patriarch
ἔσται Ἀντιοχείας, ἀλλ' ὃν ἂν προβαλεῖται ἡ βασιλεία
will-be of-Antioch but whomever — will-appoint the majesty
ὑμῶν ἐκ τῶν θρεμμάτων τυγχάνοντα τῆς κατὰ τὴν
your from the nurslings being of-the in —
Κωνσταντινούπολιν μεγάλης ἐκκλησίας. ὁ τοιοῦτος γὰρ
Constantinople great church the such for

καὶ τοῦ θρόνου τοῦ κατὰ τὴν Ἀντιόχειαν ἐπιβαίη καὶ
also the throne the in — Antioch should-mount and
πάντα πράξει ἀρχιερατικῶς ἔν τε χειροτονίαις καὶ ταῖς
all will-do high-priestly in both ordinations and in-the
λοιπαῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι κατὰ τὰ τοῦ θρόνου
other ecclesiastical matters according-to the of-the throne
τοῦδε προνόμια. ἦσαν δὲ ἄρα καὶ αἱ ἀπὸ τῆς δουκικῆς
this privileges were and after-all also the from the ducal
ἀρχῆς τῆς κατὰ τὴν πόλιν Ἀντιοχείας ἀποτμηθεῖσαι
rule the in the city of-Antioch cut-off
μερίδες παρὰ τῆς βασιλείας ὑμῶν ὡς ἐθελόντων ταύτας
portions by the majesty your as wishing these
προσοικειώσασθαι καθ' ὁλόκληρον αὗται· τό τε θέμα τὸ
to-annex in whole these the both theme —
Ποδανδὸν *** καὶ πρὸς τούτοις τὸ στρατηγάτον τῆς
Podandos (lacuna) and besides these the strategaton —
Ταρσοῦ πόλεως καὶ ἡ Ἄδανα πόλις καὶ αἱ τοῦ Μόψου
of-Tarsus city and — Adana city and the — of-Mopsos
ἑστίαι καὶ ἡ Ἀνάβαρζα καί, συνελόντα φάναι, ἡ χώρα
hearths and — Anabarza and having-summed-up to-say the land
πᾶσα τῆς Κιλικίας, ὅσην ὁ Κύδνος καὶ ὁ Ἕρμων
all — of-Cilicia as-much-as the Kydnos and the Hermon
περιορίζουσιν· ὡς δὲ καὶ ἡ στρατηγὶς Λαοδίκεια τῆς
bound as and also the strategis Laodikeia —
Συρίας καὶ αὐτὸ δήπουθεν τὸ στρατηγάτον Γαβάλων, ὃ
of-Syria and itself surely the strategaton of-Gabala which
καὶ Ζέβελ ὑποβαρβαρίζοντες λέγομεν, τά τε στρατηγάτα
also Zebel speaking-barbarously we-say the both strategata
Βαλανέως καὶ Μαρακέως καὶ ἡ Ἀντάραδος μετὰ τῆς
of-Balaneus and of-Marakeus and — Antaradus with —
Ἀνταρτοῦς· στρατηγίδες γὰρ καὶ ἀμφότερα. ταῦτά εἰσιν
Antartous strategides for also both these are

ἅπερ ἀποκόψασα ἡ βασιλεία ὑμῶν τῆς ὅλης δουκικῆς
which having-cut-off the majesty your from-the whole ducal
ἀρχῆς Ἀντιοχείας τῷ κύκλῳ τοῦ κράτους προσένειμεν
rule of-Antioch to-the circle of-the sovereignty assigned
ἐκεῖθεν ἀφελομένη. καὶ στέργω καὶ τοῖς τε δεδομένοις
from-there having-taken and I-am-content also with-the both given(-things)
καὶ τοῖς ἀφῃρημένοις ὡσαύτως. καὶ ἀνθέξομαι μὲν τῶν
and with-the taken-away likewise and I-will-hold-fast indeed to-the
δικαίων καὶ προνομίων ὧν παρέλαβον ἀφ᾽ ὑμῶν, οὐκ
rights and privileges which I-received from you not
ἀντιποιησαίμην δὲ ὧν οὐ παρέλαβον. οὐδ᾽ ἂν ὑπερβαίην
I-would-claim and what not I-received nor — I-would-overstep
τοὺς ὅρους, ἀλλ᾽ ἐμμενῶ τοῖς δεδωρημένοις κρατῶν
the bounds but I-will-abide by-the bestowed(-things) holding
αὐτὰ καὶ καρπούμενος, μέχρις ἂν τῷ βίῳ περιῶ, καθὰ
them and enjoying-the-fruit until — the life I-survive as
προδεδήλωται. μετὰ δὲ τὴν ἐμὴν τελευτήν, ὡς καὶ τοῦτο
has-been-shown-before after and the my death as also this
προγέγραπται, ἀναδραμοῦνται πρὸς τὰς οἰκείας ἀρχὰς καὶ
has-been-written-before they-will-revert to the own rules and
ὅθεν εἰς ἐμὴν ἐξουσίαν ἐδόθησαν. ἐπισκήψω γὰρ τοῖς ἐμοῖς
whence into my authority they-were-given I-will-enjoin for to-the my
ἐπιτρόποις καὶ ἀνθρώποις κατὰ τὴν τελευταίαν μου
guardians and men according-to the last my
βούλησιν ἀποδώσειν τὰς χώρας ἁπάσας τὰς εἰρημένας
will to-give-back the lands all the said
τῷ σκήπτρῳ τῆς τῶν Ῥωμαίων ἀρχῆς μηδὲν περὶ
to-the scepter of-the of-the Romans rule nothing about
τὴν ἀπόδοσιν περιεργαζομένοις ἢ εἰς ἀμφισβήτησίν τινα
the restoration meddling or into dispute any
διαπίπτουσι. καὶ ὄμνυμι καὶ τοῦτο καὶ τὴν συμφωνίαν
falling and I-swear also this and the agreement

ταύτην κατεμπεδῶ, ὡς ἀνυπερθέτως τε καὶ ἀναμφιβόλως
this I-confirm that without-delay both and unambiguously
τὸ προσταττόμενον πράξουσι. πλὴν καὶ τοῦτο προσκείσθω
the ordered(-thing) they-will-do except also this let-be-added
ταῖς συμφωνίαις, ὡς ἐπειδὴ ὑπὲρ τῶν ἀφῃρημένων
to-the agreements that since for the taken-away
παρὰ τοῦ κράτους ὑμῶν ἐκ τῆς Ἀντιοχικῆς ἀρχῆς καὶ
by the sovereignty your from the Antiochene rule and
τοῦ δουκάτου τῆς πόλεως ἐγώ τε κατελιπάρησα τὸν
the duchy of-the city I both besought the
ὑμέτερον θρόνον ποιήσασθαι ἀντισήκωσιν καὶ οἱ περεγρῖνοι
your throne to-make compensation and the pilgrims
προσκατελιπάρησαν τὴν ὑμετέραν βασιλείαν, καὶ κατένευσε
besought-also the your majesty and assented
τὸ κράτος ὑμῶν ἀντισηκῶσαί μοι θέματα καὶ χώρας
the sovereignty your to-compensate to-me themes and lands
τινὰς καὶ πόλεις κατὰ τὴν ἀνατολὴν διακειμένας. δεῖ
some and cities in the east lying it-is-needful
καὶ τούτων ἐνταυθοῖ μνημονεῦσαι κατ᾽ ὄνομα, ἵνα μήτε
also these here to-mention by name that neither
ἡ βασιλεία ὑμῶν ἀμφιβάλλοι κατά τι καὶ ἐγὼ ἔχω
the majesty your might-doubt in anything and I may-have
περὶ ὧν ἂν ἐπιζητοίην. ἦσαν δὲ ταῦτα· τό τε θέμα
about which — I-might-ask were and these(-things) the both theme
τῆς Κασιώτιδος πάσης χώρας, ἧς μητρόπολίς ἐστιν
— of-Kasiotis whole land of-which metropolis is
ἡ Βέρροια, ὃ κατὰ τὴν τῶν βαρβάρων φωνὴν Χάλεπ
— Berroia which in the of-the barbarians tongue Chalep
λέγεται, τὸ θέμα τῆς Λαπάρας καὶ τὰ ὑπὸ ταύτην
is-called the theme — of-Lapara and the under it
πάντα πολίχνια, τοῦτ᾽ ἔστι τὰ Πλαστά, τὸ τοῦ Χωνίου
all little-towns that is — Plasta the — of-Chonios

κάστρον, τὰ Ῥωμαΐνα, τὸ κάστρον Ἀραμισός, τὸ τοῦ
fort — Romaina the fort Aramisos the of-the
Ἀμηρᾶ πολίχνιον, τὸ κάστρον τοῦ Σαρβάνου, τὸ τοῦ
Amir little-town the fort — of-Sarbanos the —
Τελχαμψὼν φρούριον· σὺν οἷς καὶ τὰ τρία Τίλια, τό τε
of-Telchampson fortress with which also the three Tilia the both
Σθλαβοτίλιν καὶ τἆλλα δύο, τὸ φρούριον τὸ Σγένιν, τὸ
Sthlabotilin and the-other two the fortress — Sgenin the
κάστρον τὸ Καλτζιέριν· καὶ δὴ καὶ ταυτὶ τὰ πολίχνια,
fort — Kaltzierin and indeed also these-here the little-towns
τό τε Κομμερμοέρι καὶ τὸ Καθισμάτιν λεγόμενον καὶ τὸ
— both Kommermoeri and — Kathismatin called and —
Σαρσάπιν καὶ τὸ Νέκραν τὸ πολισμάτιον. ταῦτα μὲν
Sarsapin and — Nekran the townlet these(-things) indeed
τὰ ἐπὶ τάδε Συρίας κείμενα· τὰ δὲ ἀπὸ τῆς
the(-places) on this-side of-Syria lying the(-places) and from the
μέσης τῶν ποταμῶν θέματα, τὰ ἀγχοῦ που κείμενα
middle of-the rivers themes the near somewhere lying
τῆς πόλεως Ἐδέσης, τό τε θέμα τῶν Λιμνίων καὶ
the city of-Edessa the both theme — of-Limnia and
τὸ θέμα τοῦ Ἀετοῦ μετὰ πάσης τῆς ἑκάστου τούτων
the theme — of-Aetos with all the each of-these
περιοχῆς. μηδὲ ταῦτα ἀμνημόνευτα κείσθω τὰ
territory nor these(-things) unmentioned let-lie the(-things)
περὶ τῆς Ἐδέσης μηδὲ τὰ παρὰ τοῦ θεοφρουρήτου
about — Edessa nor the by the God-guarded
κράτους ὑμῶν τετυπωμένα μοι ἐτήσια τάλαντα, λέγω
sovereignty your fixed for-me annual talents I-mean
δὴ τὰς διακοσίας λίτρας τῆς Μιχαηλάτου χαραγῆς.
indeed the two-hundred pounds of-the Michaelite coinage
προσδεδώρηται γάρ μοι διὰ τοῦ εὐσεβοῦς χρυσοβούλλου
has-been-bestowed-besides for on-me through the pious chrysobull

λόγου τῆς βασιλείας ὑμῶν καὶ τὸ δουκάτον ∗∗∗ ἐξ
word of-the majesty your also the duchy (lacuna) in
ὁλοκλήρου μετὰ τῶν ὑπ᾽ αὐτὸ ἁπάντων φρουρίων τε
whole with the under it all fortresses both
καὶ χωρῶν οὐκ εἰς ἐμὸν πρόσωπον μόνον περισταμένης
and lands not to my person only devolving
τῆς δουκικῆς ταύτης ἀρχῆς· ἀλλὰ γὰρ ἐφεῖταί μοι
the ducal this rule but for it-is-permitted to-me
παραπέμπειν αὐτὴν διὰ τοῦ εὐσεβοῦς χρυσοβούλλου
to-pass it through the pious chrysobull
λόγου εἰς ὃν ἂν αὐτὸς ἐθέλοιμι, μέλλοντος δηλονότι
word to whomever — I should-wish being-bound evidently
κἀκείνου ὑποκύπτειν τοῖς τῆς βασιλείας ὑμῶν προστάγμασι
also-he to-submit to-the of-the majesty your commands
καὶ θελήμασι καθαπερεὶ ἀνθρώπου λιζίου τυγχάνοντος
and wishes as-if man liege being
τοῦ αὐτοῦ κράτους καὶ τῆς αὐτῆς βασιλείας καὶ τὰ
of-the same sovereignty and of-the same majesty and the
αὐτὰ βουλομένου καὶ συμφωνοῦντος, ἅπερ κἀγώ, πρὸς
same wishing and agreeing which I-too toward
ὑμᾶς. ἀλλὰ καὶ τὸ ἀπὸ τοῦδε, ἐπειδὴ καθάπαξ ἐγενόμην
you but also the from this(-time) since once I-became
ὑμέτερος ἄνθρωπος καὶ τοῦ κύκλου τοῦ κράτους ὑμῶν,
your man and of-the circle of-the sovereignty your
ὀφείλω λαμβάνειν κατ᾽ ἐτησίαν δόσιν ἀπὸ τῶν βασιλικῶν
I-am-bound to-receive as annual gift from the imperial
θησαυρῶν τάλαντα διακόσια τοῦ προβεβασιλευκότος κυρίου
treasuries talents two-hundred of-the late-reigning lord
Μιχαὴλ ποιότητά τε καὶ χαραγὴν ἀποφέροντα διά τινος
Michael quality both and coinage bearing through some
ἀποστολέως ἡμετέρου Συριάθεν πεμπομένου μετὰ καὶ
envoy our from-Syria sent with also

γραμμάτων ἐμῶν πρὸς ὑμᾶς εἰς τὴν βασιλίδα πόλιν, ἐφ'
letters my to you to the queen city for
ᾧ ταῦτα λαβεῖν εἰς ἡμέτερον πρόσωπον. καὶ ὑμεῖς μέν,
which these(-things) to-receive to our person and you indeed
οἱ ἀεισέβαστοι βασιλεῖς καὶ σεβαστοί γε καὶ αὔγουστοι
the ever-august emperors and august at-least and augusti
τῆς τῶν Ῥωμαίων ἡγεμονίας, στέρξετε δήπουθεν τὰ
of-the of-the Romans dominion you-will-abide-by surely the(-things)
ἐν τῷ χρυσοβούλλῳ λόγῳ τῆς εὐσεβοῦς ὑμῶν βασιλείας
in the chrysobull word of-the pious your majesty
ἐγγεγραμμένα καὶ τὰ ὑπεσχημένα διατηρήσετε. ἐγὼ δὲ διὰ
written and the promised(-things) you-will-keep I and through
τοῦδε τοῦ ὅρκου τὰ παρ' ἐμοῦ πρὸς ὑμᾶς συμπεφωνημένα
this the oath the by me toward you agreed(-things)
κατεμπεδῶ. ὄμνυμι γὰρ εἰς τὰ πάθη τοῦ ἀπαθοῦς καὶ
I-confirm I-swear for by the sufferings of-the impassible and
σωτῆρος Χριστοῦ καὶ εἰς τὸν ἀήττητον ἐκείνου σταυρόν,
savior Christ and by the unconquered his cross
ὃν ὑπὲρ τῆς τῶν ἁπάντων σωτηρίας ὑπέμεινε, καὶ εἰς τὰ
which for the of-the all salvation he-endured and by the
προκείμενα παναγέστατα εὐαγγέλια, ἃ τὴν οἰκουμένην
set-forth all-holy gospels which the world
ἅπασαν ἐσαγήνευσε· ταῦτα γὰρ κρατῶν ἐπόμνυμι καὶ
whole netted these(-things) for holding I-swear also
τὸν πολύτιμον σταυρὸν τοῦ Χριστοῦ συμπαραλαμβάνων
the precious cross — of-Christ taking-along
τῷ νῷ καὶ τὸν ἀκάνθινον στέφανον καὶ τοὺς ἥλους
in-the mind and the thorny crown and the nails
καὶ τὴν λόγχην ἐκείνην τὴν διατρήσασαν τὴν δεσποτικὴν
and the lance that the having-pierced the lordly
καὶ ζωοποιὸν πλευρὰν πρὸς σέ, τὸν κράτιστον καὶ
and life-giving side toward you the mightiest and

ἅγιον ἡμῶν βασιλέα κύριον Ἀλέξιον τὸν Κομνηνὸν καὶ
holy our emperor lord Alexios the Komnenos and
τὸν συμβασιλεύοντά σοι τριπόθητον κύριον Ἰωάννην
the co-reigning with-you thrice-beloved lord John
τὸν πορφυρογέννητον, ὡς πάντα τὰ συμπεφωνημένα καὶ
the born-in-the-purple that all the agreed(-things) and
εἰρημένα ἀπὸ τοῦ στόματός μου φυλάξω καὶ ἀπαράβατα
said from the mouth my I-will-keep and inviolate
διατηρήσω μέχρι παντὸς καὶ τὰ ὑπὲρ τοῦ κράτους
will-preserve until all and the(-things) for the sovereignty
ὑμῶν καὶ νῦν φρονῶ καὶ εἰσέτι φρονήσω μηδ' ἄχρι
your both now I-think and still will-think not-even as-far-as
ψιλῆς ἐπινοίας κακόηθες ἢ δολερὸν πρὸς ὑμᾶς ἐνδεξόμενος,
bare thought malicious or deceitful toward you admitting
ἀλλ' ἐμμενῶ τοῖς ὑπ' ἐμοῦ συμπεφωνημένοις καὶ καθ'
but I-will-abide by-the by me agreed(-things) and in
οἱονδήτινα τρόπον οὔτε ψευδορκήσω πρὸς ὑμᾶς οὔτε εἰς
whatever way neither I-will-forswear toward you nor to
ἀθέτησιν τῶν ὑπεσχημένων χωρήσω οὔτε πρὸς ἄσπονδόν
setting-aside of-the promised(-things) I-will-go nor toward truceless
τι ἐπινοήσομαι οὔτε αὐτὸς ἐγὼ οὔτε οἱ σὺν ἐμοὶ
anything I-will-devise neither myself I nor the with me
πάντες καὶ ὁπόσοι τῆς ἐμῆς ἐξουσίας εἰσὶ καὶ τὸν χορὸν
all and as-many-as of-the my authority are and the band
τῶν ἐμῶν στρατιωτῶν ἀπαρτίζουσιν· ἀλλὰ καὶ ὑπὲρ ***
of-the my soldiers complete but also for (lacuna)
τῶν σῶν ἐχθρῶν θωρακιούμεθα καὶ ἀροῦμεν ὅπλα καὶ
of-the your enemies we-will-arm and will-take-up arms and
τὴν γενομένην σύγχυσιν ἐν τῇ συμβολῇ τῆς μάχης
the having-happened confusion in the clash of-the battle
θεασάμενος καὶ τοὺς μὲν φεύγοντας, τοὺς δὲ διώκοντας
having-beheld and the indeed fleeing the and pursuing
ὁρῶν σταθηρὸς ὢν δρασμὸν μελετήσας τῆς ὁδοῦ εἶχετο.
seeing steadfast being flight having-planned to-the road held
περιτυχὼν δὲ αὐτῷ κατάφρακτός τις Κελτὸς ἵππον
having-met and him mailed a-certain Celt horse
δίδωσι· καὶ καταλαμβάνει τὸν αὐτοκράτορα περὶ τὴν
gives and overtakes the autocrat about the
πεδιάδα τῆς τεμπείας αὐλιζόμενον μεταξὺ Φιλαδελφείας καὶ
plain of-the valley encamped between Philadelphia and
Ἀκροκοῦ διακειμένην, οὐχ ἑνί, ἀλλὰ πολλοῖς ἀποχρῶσαν
Akrokos lying not for-one but for-many sufficing

στρατεύμασι. ὁ δὲ τὸν Καμύτζην θεασάμενος μεγάλως
armies he and — Kamytzes having-beheld greatly
αὐτὸν ἀποδεξάμενος καὶ σῶστρα τῷ ῥυσαμένῳ τοῦτον
him having-welcomed and thank-offerings to-the having-rescued him
Θεῷ θύσας πρὸς τὴν βασιλεύουσαν ἐκπέμπει "εἰπὲ"
God having-sacrificed to the reigning(-city) sends-off tell
λέγων "ὅσα τε πέπονθας καὶ ὁπόσα ἑώρακας καὶ
saying what both you-have-suffered and how-much you-have-seen and
τὴν ἡμῶν σὺν Θεῷ τοῖς ἡμετέροις κατάγγειλον ζωήν".
the our with God to-the ours announce life
μεμαθηκὼς δὲ τὴν σφαγὴν τοῦ Ἀμπελᾶ καὶ τοῦ Τζιπουρέλη
having-learned and the slaughter — of-Ampelas and — of-Tzipoureles
καὶ λίαν ἐπὶ τῇ τούτων σφαγῇ περιαλγήσας ὁ αὐτοκράτωρ
and very at the their slaughter having-grieved the autocrat
τὴν ψυχὴν ἔφη "δύο δόντες ἕνα ἐλάβομεν". ἔθος γὰρ
the soul he-said two having-given one we-have-taken custom for
αὐτῷ, ὁπηνίκα νικήσειέ τινα πόλεμον, ἀνερευνᾶν, εἴ τις
to-him whenever he-won some war to-search if anyone
ἑάλω τῶν στρατιωτῶν, εἴ τις ἔργον ἐγεγόνει πολεμίας
was-captured of-the soldiers if anyone work had-become of-hostile
χειρός· καὶ κἂν ὅλας ἐτρέψατο φάλαγγας καὶ νίκην
hand and even-if whole he-routed phalanxes and victory
τὴν κατ' αὐτῶν ἤρατο, ξυμβέβηκε δ' ἕνα που τυχὸν
the over them won it-happened and one somewhere perhaps
καὶ τῶν ἐσχάτων στρατιωτῶν ἀπολέσθαι, τὸ τῆς νίκης
even of-the lowest soldiers to-have-perished the of-the victory
εἰς οὐδὲν ἐλογίζετο πρᾶγμα καὶ Καδμείαν ὡς ἀληθῶς
as nothing he-reckoned thing and Cadmean as truly
νίκην τὴν νίκην ἐκείνην ἡγεῖτο καὶ ἀντὶ κέρδους
victory the victory that he-considered and instead-of gain
ζημίαν. αὐτὸς δὲ ἡγεμόνας τινὰς μετὰ τῶν ὑπ' αὐτὸν
loss he and leaders certain with the under him

στρατιωτῶν ἐς φυλακὴν καταστήσας τῆς χώρας Γεώργιον
soldiers into guard having-set of-the country George
τὸν Λεβούνην καὶ ἑτέρους πρὸς τὴν βασιλεύουσαν νικητὴς
the Lebounes and others to the reigning(-city) victor
ἐπανήει. ὁ μὲν οὖν Καμύτζης καταλαβὼν τὸ Δαμάλιν καὶ
returned — indeed then Kamytzes having-reached — Damalis and
ἐν ἀμφιρύκῳ εἰσελθὼν περὶ μέσην φυλακὴν τῆς νυκτός,
in two-oared-boat having-embarked about middle watch of-the night
ἐπεὶ τὴν βασιλίδα εἰς τὰ ὑπερκείμενα τῶν ἀνακτόρων
when the empress in the above of-the palace
ἐγίνωσκεν οὖσαν, κεῖθι καταλαβὼν πατάσσει τὴν περὶ τὸν
he-knew being there having-arrived strikes the about the
αἰγιαλὸν πύλην. τῶν δὲ ἐρομένων, τίς ἂν εἴη, τὴν
shore gate of-the and asking who — he-might-be the
ἰδίαν οὐκ ἤθελεν ἀποκαλύπτειν κλῆσιν, ἀλλὰ τὰς πύλας
own not wished to-reveal name but the gates
ᾐτεῖτο ἀποζυγωθῆναί οἱ. μόγις οὖν τοὔνομα ἀνακαλύψας
asked to-be-unbarred for-him hardly then the-name having-revealed
παραχωρεῖται τῆς εἰσόδου. ἡ δὲ Αὔγουστα περιχαρὴς
is-granted the entrance the and Augusta overjoyed
γεγονυῖα ἐδέξατο τοῦτον ἔξω τῆς τοῦ κοιτῶνος θύρας
having-become received him outside of-the of-the bedchamber door
(Ἀριστήριον τοῦτο πάλαι ὠνόμαζον), θεασαμένη δὲ τοῦτον
Aristerion this long-ago they-named having-beheld and him
Τουρκικῶς ἐσταλμένον καὶ θατέρων τῶν ποδῶν χωλεύοντα
in-Turkish-fashion dressed and in-one of-the feet limping
διὰ τὸ πληγῆναι ἐν τῷ καιρῷ τῆς μάχης, περὶ
because-of the to-have-been-struck in the time of-the battle about
τοῦ αὐτοκράτορος πρώτως ἐρομένη καθεσθῆναι ἐπέταξεν·
the autocrat first having-asked to-be-seated ordered
εἶτα περὶ πάντων πυθομένη καὶ τὴν καινὴν ἐκείνην ἐξ
then about all having-inquired and the new that from

ἀπροσδοκήτου νίκην μεμαθηκυῖα τοῦ αὐτοκράτορος καὶ τὸν
unexpected victory having-learned of-the autocrat and the
δορυάλωτον ἐλεύθερον ὁρῶσα οὐκ εἶχεν ὑφ᾽ ἡδονῆς ὅ τι
spear-captive free seeing not had from pleasure what ever
καὶ γένοιτο. ἐπέτρεψε δὲ τοῦτον διαναπαύσασθαι μέχρις
also she-might-become allowed and him to-rest until
ἡμέρας κἄπειτα ἐξελθόντα τὰ συμβεβηκότα διακηρυκεύειν
day and-then having-gone-out the events to-proclaim
ἅπασι. καὶ ὁ μὲν πρωΐθεν ἐξαναστὰς καὶ ἐπιβὰς
to-all and he indeed from-early-morning having-risen and having-mounted
ἵππου τινὸς μετὰ τῶν ἐσθημάτων ἐκείνων, μεθ᾽ ὧν
horse a-certain with the garments those with which
ἀφῖκτο τῆς αἰχμαλωσίας παραδόξως ἐλευθερωθείς, ἐπὶ
he-had-come from-the captivity unexpectedly freed to
τὸν Κωνσταντίνιον φόρον ἐλήλυθε. καὶ πᾶσα ἡ πόλις
the Constantinian forum came and all the city
εὐθὺς ἐπ᾽ αὐτῷ ἐκεκίνητο ὁμοῦ μὲν καὶ τὰ κατ᾽
at-once at him had-been-stirred at-once indeed both the(-things) about
αὐτὸν μαθεῖν ἐπειγομένη, ὁμοῦ δὲ καὶ τὰ κατὰ τὸν
him to-learn hastening at-once and also the(-things) about the
αὐτοκράτορα πλέον ποθοῦσα. αὐτὸς δὲ περιστοιχησάντων
autocrat more longing he and having-surrounded
αὐτὸν ἱππέων πολλῶν καὶ πεζῶν τά τε κατὰ τὸν
him horsemen many and foot the(-things) both about the
πόλεμον λαμπρῷ τῷ στόματι διηγήσατο καὶ ὅσα τότε
war with-brilliant the mouth narrated and what-things then
ξυνέκυρσε κατὰ τοῦ Ῥωμαϊκοῦ στρατεύματος καὶ δὴ καὶ
befell against the Roman army and indeed also
ὁπόσα ὁ βασιλεὺς κατὰ τῶν βαρβάρων ἐμηχανήσατο
how-many-things the emperor against the barbarians devised
καὶ ὅπως ἤρατο νίκην λαμπρὰν πολλαπλασίαν τὴν ἐκδίκησιν
and how he-won victory brilliant manifold the vengeance

ποιησάμενος· καὶ τέλος ἐπέθηκε τὴν παράδοξον ἑαυτοῦ ἀπὸ
having-made and end put the unexpected his-own from
τῶν βαρβάρων φυγήν. οἷς ἐπευφήμησεν ὅλον τὸ πλῆθος
the barbarians escape at-which acclaimed whole the multitude
καὶ μέχρις αἰθέρος ὁ κρότος τῆς εὐφημίας ἀνεληλύθει.
and as-far-as of-ether the din of-the acclamation had-gone-up

XL · ANNA ON HER SOURCES

The City praises the victories of an emperor beset by Scythian, Celt, and Ishmael at once. Anna swears she writes the truth and not to flatter her father: she was with her parents on campaign, heard her father, George Palaiologos, and her uncles, and read the plain memoirs of old soldiers turned monks. She laments her own misfortunes, three rulers mourned, her husband the caesar lost, thirty years shut away. Alexios turns from war to justice, resting a little in hunting and, once the gout came, in the riding his doctors prescribed.

Ταῦτα μὲν οὕτως ἐτετέλεστο καὶ ἡ Κωνσταντίνου
these(-things) indeed thus had-been-accomplished and the(-city) of-Constantine
ἐνεπέπλητο τῶν τοῦ βασιλέως κατορθωμάτων. καὶ
had-been-filled with-the of-the emperor successes and
γὰρ ὡς ἀληθῶς ὅσον μὲν ἀπὸ τῆς τύχης δυσχερέσι
for as truly as-much indeed from the fortune with-difficult
πράγμασιν ὡμιλήκει καὶ ἀντίξως ἔχουσι πρός τε αὐτὸν
affairs he-had-consorted and opposed being to both him
καὶ τὰ τῶν Ῥωμαίων πράγματα καὶ ὅλως δυστυχημάτων
and the of-the Romans affairs and wholly of-misfortunes
πλήθει περιερρεῖτο. ἀλλ᾽ ἥ γε ἀρετὴ τούτου καὶ τὸ
by-multitude was-flooded-around but the at-least virtue his and the
ἐγρηγορὸς καὶ δραστήριον ἀντέβαινέ τε καὶ φιλονείκως
wakefulness and energy resisted both and contentiously

εἶχε πρὸς ἅπαν δυστύχημα. οὐδενὶ γὰρ τῶν ἀνέκαθεν
held toward every misfortune to-none for of-the from-of-old
βασιλέων καὶ εἰς τὴν τήμερον ὄντων πραγμάτων ἐπιπλοκὴ
emperors and to the today being of-affairs entanglement
καὶ μοχθηρία παντοδαπῶν ἀνθρώπων καὶ οἴκοι καὶ
and wickedness of-all-kinds-of men both at-home and
θύραθεν προσεπέλασεν, ὡς ἐπὶ τούτου τοῦ αὐτοκράτορος
abroad came-near as in this the autocrat
εὕρομεν. εἴτε γὰρ ἔδει πονήρως διατεθῆναι τὰ
we-have-found whether for it-was-necessary badly to-be-disposed the(-affairs)
τῶν Ῥωμαίων Θεοῦ παραχωροῦντος (οὐδὲ γὰρ ἂν ἀπὸ
of-the Romans God permitting not-even for — from
τῆς ἀστρῴας περιφορᾶς ἐξαπτοίμην ποτὲ τὰ ἡμέτερα)
the astral revolution I-would-attach ever the ours
εἴτε ἀπὸ τῆς τῶν προβεβασιλευκότων ἀβουλίας εἰς
or from the of-the earlier-emperors folly to
τόδε καταστάσεως τὰ τῆς Ῥωμαϊκῆς δυναστείας
this of-condition the(-affairs) of-the Roman dominion
ἔστη, ὄχλος πραγμάτων καὶ πολυκύμαντος τάραχος ἐπὶ
stood crowd of-affairs and many-waved turmoil in
τῶν καιρῶν τῆς βασιλείας τοὐμοῦ πατρὸς συνελήλυθεν.
the times of-the reign of-my father came-together
ἅμα γὰρ κατὰ ταὐτὸν καὶ Σκύθης ἀπὸ βορρᾶ καὶ
at-once for at the-same both Scythian from north and
ἀπὸ τῆς ἑσπέρας Κελτὸς καὶ ἐξ ἀνατολῶν Ἰσμαὴλ
from the west Celt and from east Ishmael
ἐτετάρακτο χωρὶς τῶν ἀπὸ θαλάσσης κινδύνων, ἄνευ
had-been-stirred apart-from the from sea dangers without
τῶν θαλασσοκρατούντων βαρβάρων, ἄνευ τῶν πειρατικῶν
the sea-ruling barbarians without the piratical
ἀναρίθμων νηῶν, ἃς ἡ τῶν Σαρακηνῶν ἐτεκτόνευσε
countless ships which the of-the Saracens built

μῆνις, ἃς ἡ τῶν Οὐετόνων συνεπλέξατο πλεονεξία
wrath which the of-the Vetones wove-together greed
καὶ κατὰ τῆς Ῥωμαϊκῆς βασιλείας δύσνοια. καὶ γὰρ
and against the Roman empire ill-will and for
ἐποφθαλμιῶσι πάντες αὐτῇ. φύσει γὰρ οὖσα δεσπότις τῶν
cast-envious-eyes all on-her by-nature for being mistress of-the
ἄλλων ἐθνῶν ἡ βασιλεία Ῥωμαίων ἐχθρωδῶς διακείμενον
other nations the empire of-Romans hostilely disposed
ἔχει τὸ δοῦλον, καὶ ἐπειδὰν ἐπιδράξαιτο καιροῦ, φέρεται
has the slave(-element) and whenever it-seizes opportunity is-borne
ἄλλος ἄλλοθεν ἐκ γῆς καὶ θαλάττης ἕκαστος. ἀλλὰ
one from-one-place from land and sea each but
τὰ μὲν πρότερον καὶ τὰ τῆς πρὸ ἡμῶν βασιλείας
the(-things) indeed earlier and the(-things) of-the before us reign
ἐλαφρότατα ἦν καὶ κουφότερα· ἐπὶ δὲ τοὐμοῦ πατρὸς
lightest were and lighter in and my father
ἅμα τε ἐπιβεβήκει τοῦ βασιλικοῦ ἅρματος καὶ εὐθὺς
at-once both he-had-mounted the imperial chariot and at-once
ἐπισυνέρρευσεν ἁπανταχόθεν ἅπαντα τὰ δεινά· καὶ ὁ
flowed-together from-everywhere all the terrors and the
Κελτὸς ἐκεκίνητο καὶ ἐδείκνυ τοῦ δόρατος τὴν ἀκμὴν καὶ
Celt had-been-stirred and showed of-the spear the point and
ὁ Ἰσμαὴλ τόξον ἐνέτεινε καὶ τὸ Νομαδικὸν ἅπαν ἔθνος
— Ishmael bow stretched and the Nomad whole nation
καὶ Σκυθικὸν ὅλον ἁμάξαις παμμυρίαις ἐπέβρισεν. ἀλλ᾽
and Scythian whole with-wagons countless weighed-down but
ἴσως τις ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ ἐντυγχάνων
perhaps someone here of-the account having-come and reading
τῷ συγγράμματι δεδεκασμένην εἴποι τῇ φύσει τὴν
the writing bribed would-say by-the nature the
γλῶτταν. ἐγὼ δὲ οὐ μὰ τοὺς τοῦ βασιλέως ὑπὲρ τῆς
tongue I and no by the of-the emperor for the

τῶν Ῥωμαίων εὐδαιμονίας κινδύνους, οὐ μὰ τὰ τοῦ
of-the Romans prosperity dangers no by the of-the
πατρὸς ἀθλήματα καὶ τὰς συμφοράς, ἃς ὑπὲρ τῶν
father contests and the misfortunes which for the
Χριστιανῶν ἐπεπόνθει, οὐκ ἔγωγε χαριζομένη τῷμῷ
Christians he-had-suffered not I-for-my-part gratifying my
πατρὶ τὰ τοιαῦτα καὶ λέγω καὶ γράφω. ἥ γε καὶ ὅπη
father the such-things both I-say and I-write who at-least also where
τὸν πατέρα σφαλλόμενον ἴδοιμι, ἄντικρυς καὶ παραβαίνω
the father erring I-should-see outright also transgress
τὸν νόμον τὸν φυσικὸν καὶ τῆς ἀληθείας ἐξέχομαι φίλον
the law the natural and to-the truth I-hold-fast dear
μὲν καὶ τοῦτον ἡγουμένη, φιλτέραν δὲ τὴν ἀλήθειαν
indeed also him considering dearer but the truth
ἔχουσα· ἀμφοῖν γὰρ ὄντοιν φίλοιν, ὥς πού τις ἔφη
holding of-both for being dear(-ones) as somewhere someone he-said
φιλόσοφος, κράτιστον προτιμᾶν τὴν ἀλήθειαν. ἀλλὰ τοῖς
philosopher best to-prefer the truth but the
πράγμασιν αὐτοῖς ἐπακολουθοῦσα καὶ μήτε προστιθεμένη
affairs themselves following and neither adding
παρ᾽ ἐμαυτῇ μήτε ὑφαιροῦσα τὰ ξυμπεσόντα καὶ λέγω καὶ
from myself nor taking-away the events both I-say and
γράφω. καὶ ἐγγύθεν ὁ ἔλεγχος· οὐ γὰρ εἰς μυριοστὸν
I-write and near-at-hand the proof not for to ten-thousandth
ἔτος ἀνάγω τὸ σύγγραμμα, ἀλλ᾽ εἰσὶν οἵτινες εἰς τὴν
year I-carry-back the writing but there-are some-who to the
τήμερον περιόντες καὶ τὸν πατέρα τὸν ἐμὸν ἐγνωκότες
today surviving and the father the my having-known
καὶ τὰ κατ᾽ αὐτὸν ἀφηγούμενοι, ἀφ᾽ ὧν καὶ οὐκ
and the(-things) about him narrating from whom also not
ὀλίγα τῆς ἱστορίας ἐνταυθοῖ συνηράνιστο ἄλλων ἄλλο
few of-the history hither had-been-contributed of-others other

τι διηγουμένων καὶ μεμνημένων ὧν ἕκαστος ἔτυχε
a-thing narrating and remembering of-which each happened
καὶ πάντων ὁμοφωνούντων. τὰ μὲν γὰρ πλείω καὶ ἡμεῖς
and all agreeing the indeed for more also we
συνῆμεν τῷ πατρὶ καὶ τῇ μητρὶ συνειπόμεθα. οὐ γὰρ ἦν
were-with the father and the mother accompanied not for was
τὸ ἡμέτερον τοιοῦτον οἷον οἰκουρικὸν καὶ ὑπὸ σκιὰν καὶ
the ours such as stay-at-home and under shade and
τρυφὴν στρεφόμενον. ἀλλ᾽ ἐμὲ γὰρ ἐξ αὐτῶν σπαργάνων,
luxury turning but me for from very swaddling-clothes
ὄμνυμι τὸν ἐμαυτῆς Θεὸν καὶ τὴν ἐκείνου μητέρα, πόνοι
I-swear-by the my-own God and the his mother toils
καὶ θλίψεις παρέλαβον καὶ συμφοραὶ συνεχεῖς, αἱ μὲν
and afflictions received and misfortunes continual the indeed
ἔξωθεν, αἱ δὲ οἴκοθεν. τὰ μὲν γὰρ τοῦ σώματος
from-outside the and from-home the(-things) indeed for of-the body
ὁποδαπῶς εἶχον, οὐκ ἂν εἴποιμι, λεγέτωσαν δὲ ταῦτα
of-what-kind they-were not — I-would-say let-tell and these(-things)
οἱ περὶ τὴν γυναικωνῖτιν καὶ καταλεγέτωσαν. τὰ
the(-men) about the women's-quarters and let-recount the(-things)
δὲ ἔξωθεν καὶ ὅσα μοι συνεπεπτώκει οὔπω τὸν ὄγδοον
and from-outside and how-many to-me befell not-yet the eighth
ὑπερελασάσῃ χρόνον καὶ ὅσους ἐχθροὺς ἡ τῶν ἀνθρώπων
having-passed year and how-many enemies the of-the men
μοι κακία παρεβλάστησε, τῆς Ἰσοκράτους Σειρῆνος
to-me wickedness put-forth of-the of-Isocrates Siren
δεῖται, τῆς Πινδαρικῆς μεγαλοφωνίας, τοῦ Πολέμωνος
needs of-the Pindaric grandeur of-the of-Polemon
ῥοίζου, τῆς Ὁμηρικῆς Καλλιόπης, τῆς Σαπφικῆς λύρας
rush of-the Homeric Calliope of-the Sapphic lyre
ἤ τινος ἄλλης παρὰ ταύτας δυνάμεως. οὐδὲν γάρ ἐστι
or some other besides these power nothing for is

τῶν δεινῶν οὐ μικρόν, οὐ μεῖζον, οὐκ ἐγγύθεν, οὐ
of-the terrors not small not greater not near not
πορρωτέρω, ὃ μὴ εὐθὺς ἐπέβρισε καθ' ἡμῶν. καὶ δῆτα
farther which not at-once weighed-down upon us and indeed
καὶ ὑπερέσχε σαφῶς τὸ κλυδώνιον καὶ ἔκτοτε καὶ μέχρι
also surmounted clearly the surge and since-then and until
τοῦ νῦν καὶ μέχρι οὗ τὸ σύγγραμμα τουτὶ γράφω ἡ
the now and until when the writing this I-write the
τῶν συμφορῶν ἐπωρύεταί μοι θάλαττα καὶ ἄλλα ἐπ'
of-the misfortunes howls-upon me sea and others upon
ἄλλοις καταλαμβάνει τὰ κύματα. ἀλλὰ γὰρ ἔλαθον
others overtake the waves but for I-did-not-notice
εἰς τὰς ἐμαυτῆς συμφορὰς παρασυραμένη· νῦν οὖν ἐπὶ
into the my-own misfortunes having-been-swept-aside now then to
νοῦν ἐλθοῦσα ἐπανανήξομαι καθάπερ ἀνάρρουν ποιησαμένη
mind having-come I-shall-swim-back as-if a-back-current having-made
καὶ πρὸς τὰς πρώτας λαβὰς ἐπανέλθοιμι. τὰ μὲν
and to the first holds may-I-return the(-things) indeed
οὖν, ὡς εἶπον, παρ' ἐμαυτῆς ἔχω, τὰ δὲ καὶ
then as I-said from myself I-have the(-things) and also
ἀπὸ τῶν ξυστρατευσαμένων τῷ αὐτοκράτορι ποικίλως
from the fellow-campaigners with-the autocrat variously
περὶ τούτων μανθάνουσα καὶ διά τινων πορθμέων εἰς
about these(-things) learning and through certain ferrymen to
ἡμᾶς διαβιβαζόντων τὰ τοῖς πολέμοις ξυμβεβηκότα,
us carrying-across the(-things) in-the wars having-happened
μάλιστα δὲ καὶ αὐτοπροσώπως περὶ τούτων διηγουμένων
most and also in-person about these narrating
πολλάκις ἤκουον τοῦ τε αὐτοκράτορος καὶ Γεωργίου τοῦ
often I-heard of-the both autocrat and of-George the
Παλαιολόγου. ἐγὼ δὲ καὶ τὰ πολλὰ τούτων συνελεξάμην
Palaiologos I and also the many of-these collected

καὶ κράτιστα ἐπὶ τοῦ μετὰ τὸν ἐμὸν πατέρα τρίτου τὰ
and most in the after the my father third the
τῆς βασιλείας σκῆπτρα διέποντος, ὅτε καὶ πᾶσα κολακεία
of-the empire scepters administering when also all flattery
καὶ ψεῦδος τῷ πάππῳ αὐτῷ συναπέρρευσε πάντων τὸν
and lie with-the grandfather himself flowed-away all the
ἐφιστάμενον μὲν θρόνον κολακευόντων, πρὸς δὲ τὸν
present indeed throne flattering toward and the(-one)
ἀπερρυηκότα μηδέν τι μὲν θωπείας ἐνδεικνυμένων,
having-flowed-away nothing at-all indeed of-fawning displaying
γυμνὰ δὲ τὰ πράγματα διηγουμένων καὶ αὐτὰ λεγόντων
naked and the facts narrating and them telling
ὥσπερ ἐσχήκασιν. ἐγὼ μὲν γὰρ τὰς ἐμαυτῆς συμφορὰς
as they-were I indeed for the my-own misfortunes
ἀποδυρομένη κατὰ τόδε καιροῦ τρεῖς βασιλεῖς θρηνοῦσα
lamenting at this time three emperors mourning
τὸν πατέρα καὶ αὐτοκράτορα καὶ τὴν ἐμὴν δεσπότιν
the father and autocrat and the my mistress
καὶ μητέρα καὶ βασιλίδα καὶ τὸν ἐμόν, οἴμοι, σύζυγον
and mother and empress and the my alas husband
καίσαρα ἐγγωνιάζω τὰ πολλὰ καὶ βιβλίοις καὶ Θεῷ
caesar I-keep-in-a-corner the most(-part) and to-books and to-God
προσανάκειμαι. καὶ οὐδὲ τοῖς ἀφανεστέροις ἐξέσται
am-devoted and not-even to-the more-obscure it-will-be-allowed
τῶν ἀνθρώπων παρ' ἡμᾶς φοιτᾶν, μὴ ὅτι γε δι' ὧν
of-the men to us to-come not that at-least through whom
μανθάνειν εἴχομεν, ἅπερ παρ' ἄλλων διακηκοότες ἐτύγχανον,
to-learn we-could which from others having-heard they-happened
καὶ τοῖς τοῦ πατρὸς οἰκειοτάτοις. εἰς τριακοστὸν γὰρ
and to-the of-the father closest for thirtieth for
τοῦτο ἔτος, μὰ τὰς τῶν μακαριωτάτων αὐτοκρατόρων
this year by the of-the most-blessed autocrats

ψυχάς, οὐκ ἐθεασάμην, οὐκ εἶδον, οὐχ ὡμιλήκειν ἀνθρώπῳ
souls not I-beheld not I-saw not I-had-consorted with-man
πατρῴῳ, τοῦτο μὲν τῶν πολλῶν ἀπερρυηκότων, τοῦτο
paternal this indeed of-the many having-flowed-away this
δὲ τῶν πολλῶν ἀπειργομένων τῷ φόβῳ. καὶ τούτοις
and of-the many being-kept-off by-the fear and to-these
γὰρ ἡμᾶς κατεδίκασαν οἱ κρατοῦντες τοῖς ἀτοπήμασι
for us condemned the(-men) ruling to-the absurdities
μηδὲ θεατοὺς εἶναι ἀλλ᾽ ἐστυγημένους τοῖς πλείοσιν.
not-even visible to-be but hated by-the most
ἃ δὲ συνειλόχειν τῆς ἱστορίας, ἴστω Θεός, ἴστω
what and I-had-gathered of-the history let-know God let-know
ἡ ὑπερκόσμιος μήτηρ αὐτοῦ καὶ ἐμὴ δεσπότις, ἀπό
the supramundane mother his and my mistress from
τινων συνελεξάμην ξυγγραμμάτων ἀχρείων καὶ ἀσπούδων
certain I-collected writings useless and unstudied
παντάπασι καὶ γερόντων ἀνθρώπων στρατευσαμένων κατ᾽
entirely and of-old men having-campaigned at
ἐκεῖνο καιροῦ, καθ᾽ ὃν οὑμὸς πατὴρ τῶν σκήπτρων
that time at which my father the scepters
Ῥωμαίων ἐπείληπτο, χρησαμένων δὲ συμφοραῖς καὶ
of-Romans had-seized having-met and with-misfortunes and
μετασχηματισθέντων ἀπὸ τῆς κοσμικῆς τύρβης εἰς τὴν
having-been-transformed from the worldly turmoil to the
τῶν μοναχῶν γαληνιαίαν κατάστασιν. τὰ γὰρ εἰς χεῖρας
of-the monks calm state the for into hands
ἐμὰς ἐμπεσόντα συγγράμματα ἁπλᾶ μὲν ἦσαν τὴν φράσιν
my having-fallen writings simple indeed were the phrasing
καὶ ἀπερίεργα καὶ τῆς ἀληθείας ἐχόμενα καὶ οὐδέν τι
and unelaborate and to-the truth holding and nothing at-all
κομψὸν ἐπιδεδειγμένα οὐδὲ ῥητορικὸν ὄγκον ἐπισυρόμενα.
elegant having-displayed nor rhetorical bulk dragging-along

τὰ δὲ παρὰ τῶν γεραιτέρων ἐκδιηγούμενα τῆς αὐτῆς
the and from the older(-men) narrated of-the same
ἦσαν καὶ λέξεως καὶ διανοίας τῶν συγγραμμάτων ἐχόμενα·
were both diction and thought to-the writings holding
καὶ ἐτεκμηράμην ἐξ αὐτῶν τὴν τῆς ἱστορίας ἀλήθειαν
and I-judged from them the of-the history truth
συμβάλλουσα καὶ παρεξετάζουσα τὰ παρ᾽ ἐμαυτῆς
comparing and examining the(-things) by myself
ἱστορούμενα πρὸς τὰ παρ᾽ ἐκείνων λεγόμενα καὶ
recorded against the(-things) by those said and
τὰ παρ᾽ ἐκείνων πρὸς τὰ παρ᾽ ἐμαυτῆς, ἅπερ
the(-things) by those against the(-things) by myself which
αὐτὴ ἐξ αὐτοῦ τε τοὐμοῦ πατρὸς καὶ τῶν πρὸς πατρὸς
I-myself from himself both my father and the on father's(-side)
καὶ μητρὸς ἐμοὶ θείων ἠκηκόειν πολλάκις. ἀφ᾽ ὧν
and mother's(-side) my uncles had-heard often from which
ἁπάντων τὸ τῆς ἀληθείας ἅπαν σῶμα συνεξυφαίνεται.
of-all the of-the truth whole body is-woven-together
ἀλλ᾽ ὅπερ ἄνωθεν εἶπον περὶ τῆς τοῦ Καμύτζη τῶν
but what above I-said about the — of-Kamytzes from-the
βαρβάρων ἀποφυγῆς καὶ τῆς παρ᾽ ἐκείνου πρὸς τοὺς
barbarians escape and the by him to the
πολίτας δημηγορίας, ὁ λόγος ἐχέσθω. ὁ μὲν γὰρ
citizens public-speech the account let-hold he indeed for
διηγήσατο τὰ συμπεπτωκότα, καθάπερ εἴπομεν, καὶ ὅσα
narrated the events as we-said and how-much
ὁ βασιλεὺς κατὰ τῶν Ἰσμαηλιτῶν ἐτεχνάσατο· οἱ δὲ
the emperor against the Ishmaelites contrived the and
τῆς Κωνσταντίνου οἰκήτορες μία φωνὴ καὶ χεῖλος ἓν
of-the(-city) of-Constantine inhabitants one voice and lip one
γεγονότες ἀνευφήμουν, ὕμνουν τὸν αὐτοκράτορα, ἐξεθείαζον,
having-become acclaimed hymned the autocrat deified

ἐμακάριζον τῆς στρατηγίας, οὐκ εἶχον ὅπως τὴν ἐπ᾽ αὐτῷ
blessed for-the generalship not they-had how the at him
ἡδονὴν κατασχεῖν. ἀλλὰ τὸν μὲν Καμύτζην σὺν εὐθυμίᾳ
pleasure to-hold-down but — indeed Kamytzes with good-cheer
παραπέμψαντες οἴκαδε μεθ᾽ ἡμέρας τινὰς δέχονται καὶ τὸν
having-escorted homeward after days some receive also the
αὐτοκράτορα νικητὴν τροπαιοῦχον, ἀνίκητον στρατηγόν,
autocrat victor trophy-bearer unconquered general
ἀήττητον βασιλέα, σεβαστὸν αὐτοκράτορα. καὶ οἱ μὲν
undefeated emperor august autocrat and they indeed
οὕτως· ὁ δὲ εἰσεληλυθὼς τὰ βασίλεια καὶ σῶστρα
thus he and having-entered the palace and thank-offerings
θύσας Θεῷ καὶ τῇ Θεομήτορι τῶν συνήθων εἴχετο
having-sacrificed to-God and to-the Mother-of-God to-the customary held
τρόπων. τοὺς γὰρ ἔξωθεν πολέμους καταστησάμενος καὶ
ways the for outside wars having-settled and
τὰς τῶν τυράννων στάσεις ἀποκρουσάμενος εἰς δικαστήρια
the of-the usurpers revolts having-beaten-off to courts
καὶ νόμους ἀπέβλεπεν. ἦν γὰρ παρ᾽ ἑκάτερον καιρὸν καὶ
and laws looked was for in each time both
εἰρήνης καὶ μάχης ἄριστος οἰκονόμος. ἔκρινε γὰρ ὀρφανὸν
of-peace and of-battle best steward he-judged for orphan
καὶ ἐδικαίου χήραν καὶ κατὰ πάσης ἀδικίας δριμύτατον
and did-justice-to widow and against all injustice most-keenly
ἔβλεπεν ὀλίγα τὸ σῶμα διαναπαύων ἐν κυνηγεσίοις τε καὶ
looked a-little the body resting in hunts both and
ἀνέσεσι. καὶ γὰρ μετὰ τῶν ἄλλων ἐφιλοσόφει καὶ τοῦτο,
relaxations and for with the other(-things) he-philosophized also this
χαλιναγωγεῖν τὸ σῶμα καὶ εὐαγωγότερον ἑαυτῷ καθιστᾶν.
to-curb the body and more-tractable to-himself to-make
ἐξεδίδου μὲν γὰρ αὐτὸ τοῖς πόνοις ὡς ἐπὶ τὸ πλεῖστον,
gave-up indeed for it to-the toils as for the most(-part)

πάλιν δὲ ἐπανεκαλεῖτο τῶν πόνων· καὶ ἡ ἄνεσις τούτῳ
again and he-recalled(-it) from-the toils and the relaxation to-him
δεύτερος πόνος, βιβλίων ἀνάγνωσις καὶ ἐξέτασις καὶ ἡ
second toil of-books reading and examination and the
τοῦ "ἐρευνᾶτε τὰς γραφὰς" παραγγέλματος ἐπιμέλεια.
of-the search the scriptures command care
τὰ δ' αὖ κυνηγέσια καὶ ἡ ἀπὸ τοῦ σφαιρίζειν παιδιὰ
the and again hunts and the from the ball-playing game
δευτέρου λόγου καὶ τρίτου προσῆν τῷμῷ πατρί, ἕως
of-second account and third were-present-with my father while
ἔτι νεώτερος ἦν καὶ οὔπω τὸ θηρίον, ἡ τῶν ποδῶν
still younger he-was and not-yet the beast the of-the feet
διάθεσις, αὐτῷ ἐπισυνεπλάκη καθάπερ ὄφις τις σκολιὸς
disorder to-him was-entwined like snake a-certain crooked
καὶ αὐτὸ δὴ τοῦτο τὸ τῆς κατάρας δάκνων αὐτοῦ τὴν
and itself indeed this the of-the curse biting his the
πτέρναν. ἐξ ὅτου δὲ τὰ τοῦ νοσήματος ὑπήρξατο καὶ
heel from when and the(-things) of-the disease began and
εἰς ἀκμὴν ἧκε, τότε δὴ καὶ γυμνασίοις ἑαυτὸν ἐπεδίδου
to height came then indeed also to-exercises himself gave
καὶ τοῖς ἱππάσμασι καὶ ταῖς ἄλλαις παιδιαῖς παράγγελμα
and to-the riding and to-the other games command
τοῦτο λαβὼν ἐξ ἰατρικῆς ἐπιστήμης, ἵνα ταῖς συνεχέσιν
this having-received from medical science that by-the continual
ἱππασίαις διαφοροῖτό τι τῆς καταρρεούσης ὕλης καὶ
ridings might-be-dispersed some of-the down-flowing matter and
τοῦ ἐπιβρίθοντος βάρους κουφίζοιτο. τοῦτο γὰρ τὸ
from-the weighing-down weight he-might-be-lightened this for the
πάθος ὁ ἐμὸς πατήρ, καθάπερ εἰρήκειν ἄνωθεν, οὐκ ἐξ
affliction the my father as I-had-said above not from

ἑτέρας αἰτίας ἔξωθεν, ἀλλ᾽ ἀπὸ τῶν πόνων καὶ τῶν
other cause from-outside but from the toils and the
καμάτων ὑπὲρ τῆς Ῥωμαίων δόξης ἐσπάσατο.
labors for the of-Romans glory drew

XLI · PHILIPPOPOLIS AND THE MANICHAEANS

Hearing in November that the Cumans are crossing, Alexios stations his forces and stays at Philippopolis. Anna describes the three-hilled city, raised to greatness by Philip, and its heretics, Armenians, Bogomils, and Paulicians, the last settled there by John Tzimiskes as a guard against the Scythians crossing the Haimos, which she also describes. Alexios disputes with the Manichaeans from dawn into the night, aided by Eustratios of Nicaea, by the archbishop of Philippopolis, and above all by the caesar Nikephoros, and many are baptized. Anna would call her father the thirteenth apostle.

Οὔπω ἐνιαυτὸς εἷς παρεληλύθει καὶ λογοποιουμένην ἀκηκοὼς
not-yet year one had-passed and being-rumored having-heard
αὖθις τῶν Κομάνων διὰ τοῦ Ἴστρου διαπεραίωσιν ὀγδόης
again of-the Cumans through the Ister crossing (the)-eighth
ἤδη ἐπινεμήσεως ἐφισταμένης ἀρχομένου φθινοπώρου
already indiction setting-in beginning autumn
κατὰ μῆνα Νοέμβριον ἔξεισι τῆς βασιλίδος τῶν πόλεων
in month November he-goes-out from-the queen of-the cities
καὶ τὰς δυνάμεις ἁπάσας μεταπεμψάμενος κατατίθησι
and the forces all having-summoned stations
τούτους εἴς τε Φιλιππούπολιν καὶ εἰς τὸν λεγόμενον
them in both Philippopolis and in the called
Πετριτζὸν καὶ Τριάδιτζαν καὶ εἰς τὸ θέμα τοῦ Νίσου
Petritzos and Triaditza and in the theme — of-Nis
μέχρι καὶ τῆς παρίστρας Βουρανιτζόβης ἐπισκήψας πολλήν
as-far-as also the by-the-Ister Branitzova having-enjoined much

τε περὶ τοὺς ἵππους αὐτῶν ἐνδείκνυσθαι ἐπιμέλειαν, ὥστε
and about the horses their to-display care so-that
πίονας γεγονότας ἐν καιρῷ μάχης δύνασθαι φέρειν τοὺς
fat having-become in time of-battle to-be-able to-carry the
ἐπιβάτας, αὐτὸς δὲ κατὰ τὴν Φιλιππούπολιν ἐνδιατρίβει.
riders he and at — Philippopolis stays
πόλις δὲ αὕτη περὶ τὴν τῆς Θρᾴκης μεσόγειαν. Εὗρος
city and this about the — of-Thrace interior Hebros
τῇ πόλει παραρρεῖ πρὸς βορρᾶν ἄνεμον πνέοντα· ῥεῖ
the city flows-past to north wind blowing flows
μὲν γὰρ οὗτος ἀπὸ τῶν περάτων αὐτῶν τῆς Ῥοδόπης
indeed for this from the ends themselves of-the Rhodope
καὶ πολλὰς ποιούμενος ἕλικας καὶ καμπὰς παραμείβει τε
and many making windings and bends passes both
τὴν Ἀδριανοῦ πολλῶν καὶ ἄλλων ἐς ταὐτὸ ποταμῶν
the(-city) of-Hadrian many and other into the-same rivers
συνεμβεβληκότων καὶ περὶ τὴν Αἶνον πόλιν ἐκδίδωσιν εἰς
having-flowed-together and about — Ainos city empties into
τὴν θάλασσαν. Φίλιππον δὲ ὅταν εἴπω, οὐ τὸν Μακεδόνα
the sea Philip and when I-say not the Macedonian
λέγω, τὸν τοῦ Ἀμύντου, νεωτέρα γὰρ ἡ πόλις τοῦ
I-mean the(-son) — of-Amyntas younger for the city than-the
Φιλίππου τούτου, ἀλλὰ τὸν Ῥωμαῖον Φίλιππον, ὃς
Philip this but the Roman Philip who
ὑπερωμίας γέγονεν ἀνὴρ καὶ τὴν ἰσχὺν καὶ τὸ σῶμα
of-surpassing-shoulders became man and the strength and the body
ἀνυπόστατος. πολίχνιον δὲ ἦν τὰ πρῶτα καὶ πρὸ Φιλίππου
irresistible little-town and was the first(-times) and before Philip
Κρηνίδες ὀνομαζόμενον, παρ' ἐνίων δὲ Τριμοῦς. ἀλλ' ὅ τε
Krenides named by some and Trimous but the both
μέγιστος ἐκεῖνος Φίλιππος εἰς μέγεθος τὴν πόλιν ἐξάρας
greatest that Philip to greatness the city having-raised

καὶ περικυκλώσας ταύτην τείχεσι περιβόητον τῶν ἐν Θρᾴκῃ
and having-encircled it with-walls renowned of-the in Thrace
πεποίηκε πόλεων ἱππικά τε καταστησάμενος ἐν αὐτῇ
made cities hippodromes both having-built in it
μέγιστα καὶ ἄλλα τινὰ κατασκευάσματα θαύματος ἄξια,
greatest and other some constructions of-wonder worthy
ὧν ἴχνη κατέλαβον καὶ αὐτὴ μετὰ τοῦ αὐτοκράτορος
of-which traces I-found also myself with the autocrat
ἐπιδεδημηκυῖα τὴν πόλιν κατὰ χρείαν τινά. ἡ δὲ πόλις
having-sojourned-in the city on need a-certain the and city
τρίλοφός ἐστιν ἑκάστου λόφου περιζωννυμένου τείχει
three-hilled is each hill being-girded with-wall
μεγάλῳ καὶ ὑψηλῷ· ὅπου δὲ πρὸς πεδιάδας ὑποκύπτει καὶ
great and high where and toward plains it-stoops and
ὁμαλότητας, τάφρος αὐτὴν περιθέει παρ᾽ Εὔρῳ κειμένη.
levels ditch it runs-around by Hebros lying
καὶ ἦν, ὡς ἔοικε, ποτὲ πόλις ἡ πόλις αὕτη μεγάλη τε
and it-was as it-seems once city the city this great both
καὶ καλή. ἀφ᾽ οὗ δὲ Ταῦροι καὶ Σκύθαι τὴν πόλιν ἐν τοῖς
and beautiful from when and Taurians and Scythians the city in the
ἀνέκαθεν χρόνοις ἠνδραποδίσαντο, εἰς τόδε τοῦ σχήματος
from-of-old times enslaved to this of-the shape
ἡ πόλις κατέστη, ἐν ᾧ ἡμεῖς κατειληφότες αὐτὴν ἐπὶ
the city came in which we having-come-upon it in
τῶν τοῦ ἐμοῦ πατρὸς σκήπτρων τὴν πόλιν μεγαλόπολιν
the of-the my father scepters the city great-city
ὡς ὄντως ἐτεκμηράμεθα. ἐδυστύχει δὲ μετὰ τῶν ἄλλων
as really judged was-unfortunate and with the other(-things)
καὶ ἀσεβῶν ἐπιδημίᾳ πολλῶν. Ἀρμένιοί τε γὰρ διενείμαντο
also of-impious by-sojourn of-many Armenians both for divided
τὴν πόλιν ταύτην καὶ οἱ λεγόμενοι Βογόμιλοι, περὶ ὧν
the city this and the called Bogomils about whom

ὕστερον καὶ αὐτῶν καὶ τῆς τούτων αἱρέσεως ἐροῦμεν
later both themselves and of-the their heresy we-shall-speak
κατὰ καιρόν, καὶ δὴ καὶ οἱ δυσθεώτατοι Παυλικιανοί,
at time and indeed also the most-ungodly Paulicians
τῆς Μανιχαϊκῆς ἀποσπάδαι τυγχάνοντες, ἐκ Παύλου καὶ
of-the Manichaean offshoots being from Paul and
Ἰωάννου, ὡς καὶ τοὔνομα λέγει, γεγενημένοι, οἳ τῆς
John as also the-name says having-sprung who of-the
ἀσεβείας τοῦ Μανέντος ἐπισπασάμενοι ἄκρατον τοῖς
impiety — of-Manes having-drawn-in unmixed to-the(-men)
ἀπ᾽ ἐκείνων μεταδεδώκασιν. ἠβουλόμην οὖν τὸ δόγμα τῶν
from them have-imparted I-wished then the doctrine of-the
Μανιχαίων ἐπιδραμεῖν καὶ συνεσπειραμένως ἀναπτύξαι,
Manichaeans to-run-over and compactly to-unfold
προσέτι σπουδάσαι τὴν ἀνατροπὴν τῶν ἀθεωτάτων
besides to-labor-at the refutation of-the most-godless
δογμάτων τούτων. ἀλλ᾽ ἅμα μὲν εἰδυῖα, ὅτι πᾶσίν
doctrines these but at-once indeed knowing that to-all
ἐστι καταγέλαστος ἡ τῶν Μανιχαίων αἵρεσις, ἅμα δὲ
is laughable the of-the Manichaeans heresy at-once and
καὶ πρὸς τὴν ἱστορίαν ἐπισπεύδουσα παρίημι τοὺς κατὰ
also toward the history hastening I-let-pass the against
τούτων ἐλέγχους. καὶ ἄλλως δὲ οὐ τοὺς τῆς ἡμετέρας
them refutations and otherwise too not the(-men) of-the our
αὐλῆς μόνον, ἀλλὰ καὶ αὐτὸν οἶδα τὸν καθ᾽ ἡμῶν
court only but also himself I-know the against us
λελυττηκότα Πορφύριον ἐν πλείοσι κεφαλαίοις εἰς ἀτοπίαν
having-raved Porphyry in more chapters to absurdity
πολλὴν συνωθήσαντα τὸ τῶν Μανιχαίων φλύαρον δόγμα
much having-forced the of-the Manichaeans silly doctrine
ἐπιστημονικώτατα περὶ τῶν δύο ἀρχῶν ἐπισκεψάμενον,
most-scientifically about the two principles having-examined

εἰ καὶ ἡ μοναρχία τούτου εἰς τὴν Πλατωνικὴν ἑνάδα
if even the monarchy his to the Platonic unit
ἢ καὶ τὸ ἓν τοὺς ἀναγινώσκοντας ἀναγκάζει συνάγειν.
or also the one the readers compels to-conclude
ἡμεῖς γὰρ μοναρχίαν τιμῶμεν, οὐχ ἣ ἓν πρόσωπον
we for monarchy honor not which one person
περιγράφει. οὐδὲ τὸ ἓν τὸ τοῦ Πλάτωνος προσηκάμεθα·
circumscribes nor the one the — of-Plato we-have-accepted
τουτοῖ τὸ παρ᾽ Ἕλλησιν ἄρρητον καὶ παρὰ Χαλδαίοις
this the among Hellenes unspeakable and among Chaldaeans
ἀπόρρητον· ἐξαρτῶσι γὰρ αὐτοῦ πολλὰς καὶ ἄλλας ἀρχὰς
secret they-hang-on for from-it many and other principles
ἐγκοσμίους τε καὶ ὑπερκοσμίους. ἀλλὰ τούτους δὴ τοὺς
mundane both and supramundane but these indeed the
ἀπὸ Μανέντος καὶ Παύλου καὶ Ἰωάννου, τῶν τῆς
from Manes and Paul and John the(-sons) —
Καλλινίκης, ἀγριωτέρους ὄντας τὰς γνώμας καὶ ὠμοὺς καὶ
of-Kallinike wilder being the minds and cruel and
μέχρις αἵματος διακινδυνεύοντας ὁ ἐν βασιλεῦσιν ἐκεῖνος
as-far-as blood risking the among emperors that
θαυμάσιος Ἰωάννης ὁ Τζιμισκῆς πολέμῳ νικήσας
wonderful John the Tzimiskes by-war having-conquered
ἐξανδραποδισάμενος ἐκ τῆς Ἀσίας ἐκεῖθεν ἀπὸ τῶν
having-enslaved from — Asia from-there from the
Χαλύβων καὶ τῶν Ἀρμενιακῶν τόπων εἰς τὴν Θρᾴκην
Chalybes and the Armeniac places to — Thrace
μετήνεγκε καὶ τὰ περὶ τὴν Φιλιππούπολιν αὐλίζεσθαι
transferred and the(-parts) about — Philippopolis to-dwell
κατηνάγκασεν, ἅμα μὲν τῶν ἐρυμνοτάτων πόλεων καὶ
compelled at-once indeed from-the strongest cities and
φρουρίων, ἃ κατεῖχον τυραννιῶντες, ἀπαγαγών, ἅμα δὲ
fortresses which they-held ruling-as-tyrants having-led-away at-once and

καὶ φύλακας ἐπιστήσας ἀσφαλεστάτους τῶν Σκυθικῶν
also guards having-set most-secure against-the Scythian
ἐκείνων διεκδρομῶν, ἃς ὑποσύχνως ὑπὸ βαρβάρων τἀπὶ
those inroads which frequently by barbarians the-in
Θρᾴκης ἐπεπόνθει χωρία· ὑπερβαίνοντες γὰρ τὰ τέμπη
Thrace had-suffered lands crossing for the valleys
τοῦ Αἵμου τὰς ὑπὸ τοῦτον πεδιάδας κατέτρεχον. ὁ
of-the Haimos the beneath it plains they-overran the
δ' Αἶμος οὗτος ὄρος ἐστὶ μακρότατον κατὰ γραμμὴν
and Haimos this mountain is longest along line
παράλληλον τῇ Ῥοδόπῃ κείμενον. ἄρχεται μὲν ἀπὸ τοῦ
parallel to-the Rhodope lying begins indeed from the
Εὐξείνου Πόντου τὸ ὄρος καὶ μικρὸν παραμείβων τοὺς
Euxine Sea the mountain and a-little passing the
καταρράκτας μέχρις αὐτῶν Ἰλλυρικῶν διήκει· οἶμαι δ',
cataracts as-far-as very Illyrians stretches I-think and
ὅτι καὶ διακοπτόμενον τῷ Ἀδριαντικῷ πελάγει πάλιν εἰς
that also being-cut-off by-the Adriatic sea again into
ἀντιπέραν ἤπειρον ἀναλαμβάνει καὶ μέχρις αὐτῶν Ἑρκυνίων
opposite mainland it-resumes and as-far-as very Hercynian
δρυμῶν ἀποτελευτᾷ. ἑκατέρωθεν δὲ τῶν καταρρύτων αὐτοῦ
forests ends on-both-sides and of-the well-watered(-slopes) its
πολλὰ καὶ πλουσιώτατα ἔθνη νέμεται Δακῶν μὲν ὄντων
many and most-rich nations dwell (the)-Dacians indeed being
βορειοτέρων καὶ τῶν Θρᾳκῶν, νοτιωτέρων δὲ Θρᾳκῶν
more-northern and the Thracians more-southern and (the)-Thracians
τε αὐτῶν καὶ Μακεδόνων. τοῦτον τὸν Αἶμον διαπερῶντες
both themselves and (the)-Macedonians this the Haimos crossing
οἱ νομάδες Σκύθαι κατὰ τοὺς ἀνέκαθεν χρόνους, πρὶν
the nomad Scythians in the from-of-old times before
ἢ τοῦ Ἀλεξίου τὸ δόρυ καὶ οἱ πολλοὶ ἀγῶνες εἰς
than — of-Alexios the spear and the many contests to

πανωλεθρίαν κατήνεγκαν, πανστρατιᾷ τὴν Ῥωμαίων
utter-destruction brought-down with-whole-army the of-Romans
ἡγεμονίαν ἐκάκουν καὶ μάλιστα τὰς ἐγγυτέρους πόλεις,
dominion harmed and most the nearer cities
ὧν προὐκάθητο ἡ πάλαι πολυθρύλλητος Φιλιππούπολις.
of-which sat-first the long-ago much-famed Philippopolis
ὁ δὲ Τζιμισκῆς Ἰωάννης τοὺς ἐκ τῆς Μανιχαϊκῆς
— and Tzimiskes John the from the Manichaean
αἱρέσεως ἀντιμάχους ἡμῖν ποιησάμενος συμμάχους κατά
heresy adversaries to-us having-made allies in
γε τὰ ὅπλα ἀξιομάχους δυνάμεις τοῖς νομάσι τούτοις
at-least the arms equal-in-battle forces to-the nomad these
Σκύθαις ἀντέστησε· καὶ τὸ ἐντεῦθεν ἀπὸ τῶν πλειόνων
Scythians set-against and the thenceforth from the most
καταδρομῶν ἀνέπνευσε τὰ τῶν πόλεων. οἱ μέντοι
inroads breathed-again the(-affairs) of-the cities the however
Μανιχαῖοι φύσει ὄντες ἐλεύθεροι καὶ ἀνυπότακτοι τὸ
Manichaeans by-nature being free and insubordinate the
εἰωθὸς ἐποίουν καὶ εἰς τὴν φύσιν ἀνέκαμπτον. πᾶσα γὰρ
customary did and to the nature bent-back all for
ἡ Φιλιππούπολις πλὴν ὀλίγων ὄντες Μανιχαῖοι τῶν τε
— Philippopolis except few being Manichaeans the both
αὐτόθι Χριστιανῶν ἐτυράννουν καὶ τὰ τούτων διήρπαζον
there Christians tyrannized and the their(-goods) plundered
μικρὰ φροντίζοντες ἢ οὐδὲν τῶν ἀποστελλομένων
little caring or nothing for-the(-men) sent
παρὰ βασιλέως. ηὔξανον τοίνυν καὶ τὰ κύκλῳ
from emperor increased therefore also the(-places) around
Φιλιππουπόλεως πάντα ἦσαν αἱρετικοί. συνεισέβαλε δὲ καὶ
Philippopolis all were heretics flowed-in and also
τούτοις ἕτερος ποταμὸς ὁ τῶν Ἀρμενίων ἁλμυρὸς καὶ
to-them another river the of-the Armenians brackish and

ἄλλος ἀπὸ τῶν θολερωτάτων πηγῶν Ἰακώβου. καὶ ἦν,
another from the muddiest springs of-James and it-was
ὡς οὕτω γε φάναι, κακῶν ἁπάντων μισγάγκεια· καὶ τὰ
as so at-least to-say of-evils all a-confluence and the
μὲν δόγματα διεφώνουν, συνεφώνουν δὲ ταῖς ἀποστασίαις
indeed doctrines disagreed agreed and in-the apostasies
οἱ ἄλλοι τοῖς Μανιχαίοις. ἀλλ' ὅ γε πατὴρ ἐμὸς καὶ
the others with-the Manichaeans but the at-least father my and
αὐτοκράτωρ καὶ πρὸς τούτους τὴν στρατιωτικὴν αὐτοῦ
autocrat also against these the military his
πολυπειρίαν ἀντιτάξας τοὺς μὲν ἀμαχὶ συνειλήφει,
wide-experience having-set-against the indeed without-battle he-had-seized
τοὺς δὲ καὶ μετὰ μάχης ἠνδραποδίσατο. οἷον δ' αὖ
the and also with battle enslaved what and again
τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ πρᾶγμα ὄντως καὶ
this he-did and endured strong man thing truly also
ἀποστολικώτατον. τί γὰρ ἄν τις τοῦτον οὐκ ἐπαινέσειε;
most-apostolic what for — anyone him not would-praise
πότερον ὅτι περὶ τὰς στρατηγίας ἀμελῶς εἶχε; καὶ μὴν
whether that about the generalships carelessly he-was and indeed
ἀνατολὴν καὶ δύσιν ἐπλήρωσε τῶν στρατηγημάτων.
east and west he-filled with-the stratagems
ἀλλ' ὅτι τοὺς λόγους παρὰ φαῦλον ἐτίθει; καὶ μήν,
but that the learning as of-little-worth he-set and indeed
ὡς οὐδεὶς ἄλλος, περὶ τὴν θείαν γραφὴν ἐσπουδάκει,
as no-one other about the divine scripture had-studied
ὡς καὶ τὴν γλῶτταν διαθῆξαι πρὸς τὰς τῶν αἱρετικῶν
so-as also the tongue to-sharpen toward the of-the heretics
συμπλοκάς. καὶ μόνος οὗτος ὅπλα καὶ λόγους ἀνέμιξε
encounters and alone this(-man) arms and words mixed
καὶ τοῖς μὲν ὅπλοις τοὺς βαρβάρους ἐνίκα, τοῖς
and with-the indeed arms the barbarians conquered with-the

δὲ λόγοις ἐχειροῦτο τοὺς ἀντιθέους, ὥσπερ δὴ τότε
and words subdued the godless as indeed then
καὶ κατὰ Μανιχαίων ἐξώπλιστο ἀποστολικὴν ἀντὶ
also against Manichaeans was-armed apostolic instead-of
στρατηγικῆς ἀναδεξάμενος ἀγωνίαν. καὶ ἔγωγε τοῦτον
military having-taken-up struggle and I-for-my-part him
τρισκαιδέκατον ἂν ἀπόστολον ὀνομάσαιμι. καίτοι τινὲς
thirteenth — apostle I-would-name although some
Κωνσταντίνῳ τῷ μεγάλῳ τοῦτο τὸ κλέος προσάπτουσιν·
to-Constantine the great this the glory attach
ἐμοὶ δὲ δοκεῖ ἢ σὺν τῷ Κωνσταντίνῳ τῷ αὐτοκράτορι
to-me and it-seems either with — Constantine the autocrat
τετάχθαι τοῦτον, ἢ εἴ τις φιλονεικείη, ἔστω μετά γε
to-be-ranked him or if anyone should-contend let-him-be after at-least
Κωνσταντῖνον ἀπόστολος ἅμα καὶ βασιλεὺς ὁ Ἀλέξιος.
Constantine apostle at-once and emperor — Alexios
ὡς γὰρ ἔφθημεν ἄνωθεν εἰρηκότες, κατὰ τὴν Φιλίππου
as for we-have-earlier above said at the(-city) of-Philip
γενόμενος διὰ τὰς εἰρημένας αἰτίας τῶν Κομάνων μήπω
having-been for the said reasons of-the Cumans not-yet
καταλαβόντων ὁδοῦ πάρεργον μεῖζον τοῦ ἔργου ἐποιεῖτο
having-arrived of-road a-by-work greater than-the work made
τοὺς Μανιχαίους τῆς ἁλμυρᾶς μετάγων θρησκείας καὶ
the Manichaeans from-the brackish transferring religion and
τοῦ γλυκέος ἐμφορῶν δόγματος. ἀπὸ πρωΐας οὖν μέχρι
with-the sweet filling doctrine from morning then until
δείλης ἢ καὶ ἑσπέρας, ἔστιν οὗ καὶ δευτέρας ἢ καὶ
afternoon or also evening there-is when also of-the-second or also
τρίτης φυλακῆς τῆς νυκτὸς μεταπεμπόμενος τούτους τὴν
third watch of-the night summoning them the
ὀρθότομον ἐδίδασκε πίστιν ἐξελέγχων τὸ διεστραμμένον
straight-cutting taught faith refuting the distorted

τῆς αὐτῶν αἱρέσεως. συμπαρῆσαν δὲ τούτῳ Εὐστράτιος
of-the their heresy were-present-with and him Eustratios
ὁ τῆς Νικαίας πρόεδρος, ἀνὴρ τά τε θεῖα σοφὸς
the — of-Nicaea bishop man the(-things) both divine wise
καὶ τὰ θύραθεν, αὐχῶν ἐπὶ ταῖς διαλέξεσι μᾶλλον
and the(-things) outside boasting at the disputations more
ἢ οἱ περὶ τὴν στοὰν καὶ ἀκαδημίαν ἐνδιατρίβοντες,
than the(-men) about the stoa and academy spending-time
καὶ αὐτὸς δὴ ὁ τῆς Φιλιππουπόλεως τῷ ἀρχιερατικῷ
and himself indeed the — of-Philippopolis on-the archiepiscopal
ἐγκαθιδρυμένος θρόνῳ. ἐπὶ πᾶσι δὲ καὶ πρὸ πάντων τὸν
established throne on all and also before all the
ἐμὸν Καίσαρα Νικηφόρον ὁ αὐτοκράτωρ συναιρόμενον εἶχε
my Caesar Nikephoros the autocrat assisting had
στομώσας τοῦτον τῇ τῶν θείων βιβλίων μελέτῃ. πολλοὶ
having-sharpened him with-the of-the divine books study many
μὲν οὖν τηνικαῦτα τῶν Μανιχαίων μηδὲ διστάζοντες
indeed then at-that-time of-the Manichaeans not-even hesitating
ὅλως προσῄεσαν τοῖς ἱερεῦσιν ἐξομολογούμενοι τὰς σφῶν
at-all came-to the priests confessing the their
ἁμαρτίας καὶ τοῦ θείου φωτίσματος ἐπιτυγχάνοντες·
sins and of-the divine illumination obtaining
πολλοὺς δὲ ἦν ἰδεῖν τηνικαῦτα ὑπὲρ τοὺς Μακαβαίους
many and it-was to-see at-that-time beyond the Maccabees
ἐκείνους τῆς ἰδίας ἀντεχομένους θρησκείας χρήσεις τε
those the own holding-fast religion citations both
καὶ μαρτυρίας τῶν θείων προφέροντας γραφῶν ἐντεῦθεν
and testimonies of-the divine bringing-forward scriptures thence
ἰσχυροποιεῖν οἰομένους τὸ σφῶν αὐτῶν κατάπτυστον
to-strengthen thinking the their own despicable
δόγμα. ἀλλὰ τῇ συνεχεῖ τοῦ αὐτοκράτορος ὁμιλίᾳ καὶ
doctrine but by-the continual of-the autocrat converse and

ταῖς συχναῖς παραινέσεσι καὶ τούτων οἱ πλείους πειθόμενοι
by-the frequent exhortations also of-these the most persuaded
τοῦ θείου μετέσχον βαπτίσματος. καὶ γὰρ ἐξ ἀνατολῶν
of-the divine partook baptism and for from risings
ἡλιακῶν ἀκτίνων ἐς βαθυτάτην νύκτα πολλάκις τὰ
of-solar rays into deepest night often the(-things)
τῆς διαλέξεως παρετείνετο, καὶ τῆς τοιαύτης ὁμιλίας
of-the disputation was-prolonged and from-the such converse
μὴ ἀφιστάμενος ἄσιτος τὰ πολλὰ διετέλει καὶ ταῦτα
not withdrawing fasting the(-time) much he-continued and this
ἐν καιρῷ θέρους ἐν ὑπαίθρῳ σκηνῇ διακαρτερῶν.
in time of-summer in open-air tent holding-out

XLII · KOULEON, KOUSINOS, AND PHOLOS

The Cumans cross the Danube and flee at Alexios' approach. At Philippopolis he argues daily with the Manichaean leaders Kouleon, Kousinos, and Pholos, who back one another like boars' tusks, and sends them to the palace porticoes, while converts come by the hundred. For the poor converts he builds Alexioupolis, called Neokastron, granting land by chrysobull to them and their heirs. In the City Kouleon is won over; Kousinos and Pholos, unyielding as iron, die in the Elephantine prison.

Ἐν ὅσῳ δὲ ταῦτα ἐτελεῖτο καὶ ἡ λογικὴ ἐκείνη
in while and these(-things) were-being-done and the verbal that
μετὰ τῶν Μανιχαίων συνεκροτεῖτο ἅμιλλα, φθάσας
with the Manichaeans was-joined contest having-arrived-first
τις ἀπὸ τοῦ Ἴστρου τὴν τῶν Κομάνων ἀπήγγελλε
someone from the Ister the of-the Cumans announced
διαπεραίωσιν. ὁ δὲ βασιλεὺς μὴ μελλήσας ὅλως πρὸς
crossing the and emperor not having-delayed at-all to

τὸν Δάνουβιν ἤλαυνε τοῖς περιτυχοῦσι στρατιώταις
the Danube drove with-the chance soldiers
συγχρησάμενος. καὶ τὴν Βιδύνην καταλαβὼν καὶ
having-made-use and — Vidin having-reached and
τοὺς βαρβάρους μὴ εὑρηκώς (προέφθασαν γὰρ τὴν τοῦ
the barbarians not having-found they-had-forestalled for the of-the
αὐτοκράτορος ἔλευσιν μεμαθηκότες εἰς τοὐπίσω διαπερᾶσαι)
autocrat coming having-learned to the-rear to-cross
παραχρῆμα στρατιώτας γενναίους ἀποδιελόμενος τὴν τῶν
immediately soldiers noble having-detached the of-the
βαρβάρων ἐπιδίωξιν ἐπέτρεψεν. οἱ δὲ κατόπιν τούτων
barbarians pursuit entrusted they and behind them
παραχρῆμα ἤλαυνον τὸν Ἴστρον διαπεράσαντες. καὶ
immediately drove the Ister having-crossed and
ἐπὶ τρισὶ διώκοντες νυχθημέροις, ἐπεὶ τοὺς Κομάνους
for three pursuing days-and-nights when the Cumans
ἐθεάσαντο δι᾽ ὧν ἐπεφέροντο σχεδιῶν τὸν ἐκεῖσε τοῦ
they-saw by which they-were-borne rafts the there of-the
Δανούβεως ῥέοντα ποταμὸν διαπεράσαντες, ἄπρακτοι πρὸς
Danube flowing river having-crossed unsuccessful to
τὸν αὐτοκράτορα ἐπανέστρεψαν. ὁ δὲ βασιλεὺς ἠνιάθη
the autocrat returned the and emperor was-vexed
μέν, ὅτι μὴ κατελήφθησαν παρὰ τῶν στρατευμάτων
indeed that not were-caught by the armies
οἱ βάρβαροι, ὅμως μέντοι καὶ τοῦτο μέρος νίκης
the barbarians nevertheless however also this part of-victory
ἡγήσατο, ὅτι ἐξ ἀκοῆς καὶ μόνης τοὺς βαρβάρους ἀπώσε
he-considered that from hearing even alone the barbarians he-repelled
καὶ ὅτι πολλοὺς τῶν ἀπὸ τῆς Μανιχαϊκῆς αἱρέσεως
and that many of-the from the Manichaean heresy
εἰς τὴν ἡμετέραν μετήνεγκε πίστιν διπλοῦν στησάμενος
to the our transferred faith double having-set-up

τρόπαιον καὶ κατὰ βαρβάρων ἀπὸ τῶν ὅπλων καὶ
trophy both against barbarians from the arms and
κατὰ τῶν αἱρετικῶν ἀπὸ τῶν εὐσεβεστάτων λόγων.
against the heretics from the most-pious words
ὑποστρέψας τοίνυν καὶ αὖθις εἰς Φιλιππούπολιν καὶ μικρὸν
having-returned therefore and again to Philippopolis and a-little
διαναπαύσας ἑαυτὸν πάλιν ἀγώνων εἶχετο. τὸν γάρ τοι
having-rested himself again to-contests held — for surely
Κουλέοντα καὶ τὸν Κούσινον καὶ τὸν ἐπὶ τούτοις Φῶλον,
Kouleon and — Kousinos and the after these Pholos
ἄνδρας προστάτας τῆς Μανιχαϊκῆς αἱρέσεως καὶ τὰ
men leaders of-the Manichaean heresy and in-the
μὲν ἄλλα κατὰ τοὺς ἄλλους Μανιχαίους, δεινοὺς δὲ
indeed other(-respects) like the other Manichaeans skilled and
ἐνστῆναι τῇ ἑαυτῶν κακοδοξίᾳ καὶ πρὸς τὸ πεισθῆναι
to-stand-firm in-the own wrong-belief and toward the to-be-persuaded
λόγοις ἀδαμαντίνους, σπαράξαι δὲ τὸ θεῖον λόγιον καὶ
by-words adamantine to-tear-apart and the divine oracle and
κακοσχόλως αὐτὸ ἐκλαβεῖν εἰς ὑπερβολὴν εὐμηχάνους,
perversely it to-interpret to excess resourceful
τούτους μεταπεμπόμενος καθ' ἡμέραν ἑκάστην πρὸς αὐτοὺς
these summoning by day each against them
τὸν λογικὸν συνεκρότει πόλεμον. καὶ ἦν ἰδεῖν ἀγῶνα
the verbal joined war and it-was to-see contest
διπλοῦν, τοῦ μὲν βασιλέως, ὅπως σωθεῖεν, καὶ σφόδρα
double of-the indeed emperor that they-might-be-saved and vehemently
ὑπεραγωνιζομένου, τῶν δ', ὅπως νικήσειαν τὴν λεγομένην
striving-hard of-the and that they-might-win the called
Καδμείαν, διαφιλονεικούντων. ἑστᾶσι μὲν γὰρ καὶ οἱ τρεῖς
Cadmean contending stood indeed for and the three
θήξαντες ἀλλήλους καθάπερ συῶν ὀδόντες καὶ τοὺς
having-sharpened each-other like of-boars teeth and the

λόγους τοῦ αὐτοκράτορος ἐν νῷ ἔχοντες διατέμνειν καὶ εἴ
words of-the autocrat in mind having to-cut-through and if
τις τὸν Κούσινον ἐξέφευγεν ἔνστασις, ταύτης ὁ Κουλέων
any — Kousinos escaped objection this — Kouleon
ἀντελαμβάνετο καὶ ἀμηχανοῦντος Κουλέοντος ὁ Φῶλος
took-up and being-at-a-loss Kouleon — Pholos
αὖθις ἀντεξανίστατο ἢ καὶ πρὸς τὰς βασιλικὰς προτάσεις
again rose-up-against or also to the imperial propositions
καὶ ὑποφορὰς ἄλλος ἐπ᾽ ἄλλῳ ἠγείρετο καθάπερ μέγιστα
and objections one upon another rose like greatest
κύματα ἐπὶ μεγάλοις καταλαμβάνοντα κύμασιν. ὁ δὲ
waves on great overtaking waves the and
αὐτοκράτωρ τὰς πάσας τούτων διαλύων ὡς ἱστὸν ἀράχνης
autocrat the all their dissolving like web of-spider
ἐνστάσεις ἐπέρραπτε μὲν εὐθὺς τῶν ἀκαθάρτων τὰ
objections stitched-up indeed at-once of-the unclean the
στόματα· ὡς δὲ πέπεικεν οὐδαμῶς, τέλος ἀπειρηκὼς πρὸς
mouths when and he-persuaded in-no-way at-last having-given-up toward
τὴν τῶν ἀνδρῶν τούτων ἠλιθιότητα προπέμπει τούτους εἰς
the of-the men these stupidity sends them to
τὴν βασιλίδα πόλιν ἑστίαν ἀποκληρωσάμενος αὐτοῖς τὰς
the queen city lodging having-allotted to-them the
περὶ τὸ μέγα παλάτιον περιδρόμους στοάς. οὐ μὴν ἄθηρος
about the great palace running-around porticoes not indeed without-catch
παντάπασιν ἦν, εἰ καὶ τούτους τοὺς ἀρχηγοὺς λόγοις τῷ
entirely he-was if even these the leaders by-words for-the
τέως οὐκ ἐθήρασεν, ἀλλ᾽ ἡμέρας ἑκάστης προσῆγε Θεῷ
time-being not he-caught but day each he-brought to-God
ὅπου μὲν ἑκατόν, ὅπου δὲ καὶ πλείους τῶν ἑκατόν, ὡς
where indeed a-hundred where and also more than-the hundred so-that
συμποσοῦσθαι τούς τε προτεθηραμένους καὶ τοὺς νῦν ὑπὸ
to-be-counted the both earlier-caught and the(-ones) now by

τῆς τούτου γλώττης ἑαλωκότας εἰς μυρίας καὶ χιλιάδας
the his tongue captured to ten-thousand and thousands
ἀνδρῶν πολυαριθμήτων. καὶ τί γὰρ δεῖ λέγειν καὶ
of-men numerous and what for must one-say and
διατρίβειν περὶ ὧν ἡ σύμπασα οἰκουμένη ἐπίσταται
to-linger about which-things the whole inhabited(-world) knows
καὶ μάρτυρές εἰσι καὶ ἀνατολὴ καὶ δύσις; πόλεις γὰρ
and witnesses are both east and west cities for
ὅλας καὶ χώρας ταῖς παντοδαπαῖς αἱρέσεσι κεκρατημένας
whole and lands by-the all-kinds-of heresies held
πολυτρόπως εἰς τὴν ἡμετέραν ὀρθόδοξον μετήνεγκε πίστιν.
in-many-ways to the our orthodox transferred faith
τοὺς μὲν τὰ πρῶτα φέροντας μεγάλων ἠξίου
the indeed the first(-place) holding of-great he-deemed-worthy
δωρεῶν καὶ τῶν στρατιωτῶν τοῖς λογάσι κατέλεγε·
gifts and of-the soldiers among-the picked enrolled
τοὺς δὲ χυδαιοτέρους συναθροίσας ἅπαντας καὶ ὅσοι
the and more-vulgar having-assembled all and as-many-as
σκαπανεῖς ἦσαν καὶ περὶ ἄροτρα καὶ βόας ἠσχόληντο,
diggers were and about plows and oxen had-been-occupied
πάντας συναγαγὼν ἅμα καὶ τέκνοις καὶ γυναιξὶν καὶ
all having-gathered together-with both children and women and
πόλιν τούτοις δειμάμενος ἀγχοῦ που Φιλιππουπόλεως
city for-them having-built near somewhere Philippopolis
καὶ πέραν Εὔρου τοῦ ποταμοῦ ἐκεῖσε τούτους μετῴκισεν
and beyond Hebros the river there them he-settled
Ἀλεξιούπολιν τὴν πόλιν κατονομάσας ἢ καὶ Νεόκαστρον,
Alexioupolis the city having-named or also Neokastron
ὃ καὶ μᾶλλον ἐπεκράτησεν, ἀποδασάμενος καὶ τούτοις
which also more prevailed having-portioned-out both to-these
κἀκείνοις ἀρούρας τε καὶ οἰνόπεδα καὶ οἰκίας καὶ κτῆσιν
and-to-those plowlands both and vineyards and houses and property

ἀκίνητον. οὐ μὴν ἀφῆκεν αὐτοῖς ἀνίσχυρα τὰ τῶν
immovable not indeed left to-them without-force the(-things) of-the
δόσεων οὐδ' ὥσπερ Ἀδώνιδος κήπους σήμερον ἀνθοῦντας
gifts nor like of-Adonis gardens today flowering
καὶ αὔριον καταρρέοντας, ἀλλὰ καὶ χρυσοβούλλοις λόγοις
and tomorrow withering but also chrysobull words
τὰς πρὸς τούτους ἐνεπέδωσε δωρεὰς καὶ οὐκ εἰς τούτους
the to them confirmed gifts and not to them
μόνους περιισταμένας τὰς χάριτας ἔστησεν, ἀλλὰ καὶ
alone being-limited the favors set but also
εἰς τοὺς ἐξ αὐτῶν καὶ τοὺς ἐξ ἐκείνων διαδοσίμους
to the(-ones) from them and the(-ones) from those transmissible
πεποίηκε· καὶ τούτων διαρρυέντων αἱ γυναῖκες αὖθις
made and these having-died the wives again
τῶν δεδωρημένων ἀντέχονται. οὕτως ἐκεῖνος ἐξήπλου
of-the gifts hold-to thus he spread-out
τὰς χάριτας. ταῦτα μὲν οὕτω λελέχθω· τὰ
the favors these(-things) indeed thus let-them-have-been-said the
γὰρ πλείω παρείθη. καὶ μή τις ἐπιμεμφέσθω τὴν
for more(-things) were-passed-over and not anyone let-blame the
ἱστορίαν, ὡς δῆθεν δωροδοκοῦσαν τὴν συγγραφήν. τῶν
history as supposedly taking-bribes the writing of-the
γὰρ νῦν ὄντων μάρτυρές εἰσι πολλοὶ τῶν ἀφηγουμένων,
for now living witnesses are many of-the narrated(-things)
καὶ οὐκ ἂν ψευδηγορίας ἁλοίημεν. καὶ ὁ μὲν
and not — of-false-speaking we-would-be-convicted and the indeed
αὐτοκράτωρ πάνθ' ὡς ἐχρῆν πεποιηκὼς ἀπάρας
autocrat all-things as it-was-needful having-done having-set-out
ἐκεῖθεν εἰς τὴν βασιλίδα πόλιν μετεσκηνώκει. καὶ πάλιν
from-there to the queen city had-moved-his-tent and again
οἱ αὐτοὶ ἀγῶνες καὶ διαλέξεις πρὸς τοὺς ἀμφὶ τὸν
the same contests and disputations with the(-men) about —

Κουλέοντά τε καὶ Κούσινον ἐγίνοντο τῷ αὐτοκράτορι
Kouleon both and Kousinos took-place with-the autocrat
συνεχεῖς. ἀλλὰ τὸν μὲν Κουλέοντα εἶλεν ὡς συνετώτερον,
continual but — indeed Kouleon he-took as more-intelligent
οἶμαι, καὶ δυνάμενον παρακολουθῆσαι λόγοις ἀληθείας καὶ
I-think and able to-follow words of-truth and
τῆς ἡμετέρας μάνδρας πεποίηκε πρόβατον ἡμερώτατον.
of-the our fold made sheep most-tame
ὁ δέ γε Κούσινος καὶ ὁ Φῶλος ἐξαγριαίνοντες καὶ
— and at-least Kousinos and — Pholos growing-savage and
βαλλόμενοι μὲν καθάπερ σίδηρος ταῖς συχναῖς τοῦ
being-struck indeed like iron by-the frequent of-the
αὐτοκράτορος ὁμιλίαις, ὅμως μέντοι σιδήρεοι μένοντες
autocrat conversations nevertheless however iron remaining
ἐξετράποντό τε καὶ οὐκ εὐαγώγως εἶχον αὐτῷ. καὶ
turned-away both and not tractably were to-him and
διὰ τοῦτο ὡς πάντων Μανιχαίων βλασφημοτάτους καὶ
because-of this as of-all Manichaeans most-blasphemous and
καθαρῶς εἰς λαμπρὰν μελαγχολίαν ἐλαύνοντας εἰς τὴν
clearly to brilliant melancholy driving into the
οὑτωσὶ λεγομένην Ἐλεφαντίνην φρουρὰν ἐμβαλὼν καὶ
so called Elephantine prison having-thrown and
τὰ πρὸς χρείαν ἅπαντα δαψιλῶς χορηγῶν μόναις
the(-things) for need all abundantly supplying alone
ταῖς ἑαυτῶν κακοπραγίαις ἀφῆκεν ἀποθανεῖν.
to-the own misfortunes he-left to-die

BOOK XV

XLIII · THE SULTAN'S MOCKERY

The sultan Solymas plans to ravage Asia again, and Alexios to march to Ikonion, Klitziasthlan's seat, but gout holds him back; Klitziasthlan raids Asia seven times, and his Turks act out the emperor's pains as comedy at their feasts. Alexios crosses to Lopadion, and the Turks, lighting beacons to look like a great army, flee with their plunder. Overtaking them at Kellia, his light troops slaughter them and recover the captives. He waits three months at Lopadion in the summer heat for his mercenaries and summons the Augusta from Prinkipos to the Aer.

Ἀλλὰ τοιαῦτα μὲν τὰ κατὰ τὴν Φιλιππούπολιν καὶ
but such indeed the(-deeds) concerning — Philippopolis and
τοὺς Μανιχαίους ἔργα τοῦ αὐτοκράτορος· ἄλλος δ' ἐκεῖθεν
the Manichaeans deeds of-the autocrat another and from-there
αὖθις βάρβαρος ἐξαρτύεται κατ' αὐτοῦ κυκεών. ἐβουλεύετο
again barbarian is-equipped against him brew planned
γὰρ ὁ Σολυμᾶς σουλτὰν τὴν Ἀσίαν αὖθις δῃώσασθαι
for — Solymas sultan — Asia again to-ravage
κἀκ τοῦ Χοροσᾶ καὶ τοῦ Χάλεπ δυνάμεις μετεκαλεῖτο,
and-from — Khorasan and — Aleppo forces summoned
εἴ που γενναίως παρὰ τὸν αὐτοκράτορα ἀντικαταστῆναι
if somewhere nobly against the autocrat to-stand-opposed
σχοίη. ἐπεὶ δ' αὐτῷ τὸ πᾶν τῆς τοῦ Σολυμᾶ
he-might-be-able when and to-him the whole of-the — of-Solymas
σουλτὰν βουλῆς πρός τινος διεμηνύθη, ἐσκόπει καὶ αὐτὸν
sultan plan by someone was-disclosed he-considered also himself
μέχρι τοῦ Ἰκονίου στρατεῦσαι καὶ καρτερώτατον τὸν μετ'
as-far-as — Ikonion to-campaign and most-vigorous the with
αὐτοῦ συναρράξαι πόλεμον. κεῖθι γὰρ τὸ σουλτανίκιον τῷ
him to-join war there for the sultanate —

Κλιτζιασθλὰν ἀπομεμέριστο. δυνάμεις τοίνυν ἐξ ἀλλοδαπῶν
to-Klitziasthlan had-been-allotted forces therefore from foreigners
καὶ μισθοφορικὸν μετεκαλεῖτο πολὺ καὶ τὸ ἴδιον στράτευμα
and mercenary(-force) he-summoned much and the own army
πανταχόθεν μετεπέμπετο. κατ᾽ ἀλλήλων οὖν ἀμφοτέρων
from-everywhere sent-for against each-other then both
τῶν στρατηγῶν τὴν μελέτην ποιουμένων ἐν τῷ μεταξὺ τὸ
the generals the study making in the meantime the
σύνηθες ἄλγημα τῶν ποδῶν συνέβη τῷ αὐτοκράτορι. καὶ
customary pain of-the feet befell the autocrat and
δυνάμεις ἀπανταχόθεν μὲν συνέρρεον, ἀλλὰ κατὰ στράγγα
forces from-everywhere indeed flowed-together but by drops
καὶ οὐκ ἀθρόον διὰ τὸ πόρρω που τὰς σφῶν
and not in-a-mass because-of the far somewhere the their
εἶναι πατρίδας· ἡ δέ γε ὀδύνη ἀπεῖργε τοῦτον οὐ τοῦ
to-be homelands the and at-least pain kept-off him not the
προκειμένου μόνον ἅψασθαι σκοποῦ, ἀλλὰ καὶ τοῦ βαδίζειν
proposed only to-touch aim but also the to-walk
ἁπλῶς. καὶ κλινήρης ὢν ἤχθετο οὐ τοσοῦτον διὰ
simply and bedridden being he-was-vexed not so-much because-of
τὴν τῶν ποδῶν περιωδυνίαν ὁπόσον διὰ τὴν ἀναβολὴν
the of-the feet violent-pain as because-of the postponement
τοῦ κατὰ τῶν βαρβάρων ἔργου. οὐκ ἐλάνθανε ταῦτα
of-the against the barbarians work not escaped these(-things)
τὸν βάρβαρον Κλιτζιασθλάν· ἔνθεν τοι καὶ ἀμεριμνήσας
the barbarian Klitziasthlan whence surely also having-ceased-to-care
τὸ παρὸν τὴν Ἀσίαν ἅπασαν ἐλήζετο ἑπτάκις κατὰ τῶν
the present — Asia whole plundered seven-times against the
Χριστιανῶν ἐκδρομὰς ποιησάμενος. καὶ γὰρ οὐδέποτε ἐπὶ
Christians raids having-made and for never for
τοσοῦτον τὸ ἄλγος ἐκεῖνο τὸν αὐτοκράτορα κατέσχεν· ἐκ
so-long the pain that the autocrat held from

διαστημάτων γὰρ μακρῶν πρὸ τοῦ ἐπερχομένη τούτῳ
intervals for long before this(-time) coming-on him
ἡ νόσος οὐ περιοδικῶς τὸ τηνικάδε ἀπήντησεν, ἀλλὰ
the disease not periodically the at-that-time met but
συνεχὴς ἦν καὶ ἐπαλλήλους τοὺς παροξυσμοὺς ἐδίδου.
continuous was and successive the paroxysms gave
ἀλλὰ τοῦτο τὸ πάθος πρόσχημα ἐδόκει τοῖς περὶ τὸν
but this the affliction pretext seemed to-the(-men) about —
Κλιτζιασθλὰν νοσήματος, οὐ μέντοι νόσημα, ἀλλ᾽ ὄκνος καὶ
Klitziasthlan of-disease not however disease but sloth and
ῥᾳθυμία ἔξωθεν περιβεβλημένη τὴν ποδαλγίαν· κἀντεῦθεν
indolence from-outside wrapped-around the gout and-hence
πολλὰ πολλάκις ἀπέσκωπτον κἀν ταῖς μέθαις
many(-things) often they-mocked and-in the drinking-bouts
κἀν τοῖς πότοις καθάπερ αὐτοφυεῖς ῥήτορες ἠθοποιίας
and-in the drinkings like self-taught orators character-sketches
τῆς τῶν ποδῶν ὀδύνης τοῦ αὐτοκράτορος οἱ βάρβαροι
of-the of-the feet pain of-the autocrat the barbarians
ἐποιοῦντο. καὶ κωμῳδίας ἐγίνετο πρόφασις ἡ τῶν ποδῶν
made and of-comedy became pretext the of-the feet
ἀλγηδών. πρόσωπα γὰρ ἰατρῶν τε καὶ τῶν περὶ τὸν
pain parts for of-doctors both and of-the(-men) about the
αὐτοκράτορα διαπονουμένων ὑπεκρίνοντο καὶ αὐτὸν δῆτα
autocrat toiling they-acted and himself indeed
τὸν βασιλέα εἰς τὸ μέσον παράγοντες καὶ ἀναθέμενοι ἐπὶ
the emperor into the middle bringing-forward and having-laid on
κλίνης προσπαίζειν ᾤοντο. καὶ ἐπὶ ταύταις ταῖς παιδιαῖς
couch to-make-sport they-thought and at these the games
γέλως τοῖς βαρβάροις ἐπῆρτο πολύς. οὐ μὴν ἐλάνθανε
laughter to-the barbarians was-raised much not indeed escaped
ταῦτα τὸν αὐτοκράτορα κἀντεῦθεν ἠρεθίζετο πρὸς τὴν
these(-things) the autocrat and-hence was-provoked toward the

κατ᾽ αὐτῶν μάχην μᾶλλον παφλάζων τὰ τοῦ θυμοῦ.
against them battle more boiling the(-things) of-the anger
οὐ πολὺ τὸ ἐν μέσῳ καὶ κουφισθεὶς τῆς ὀδύνης τῆς
not much the(-time) in middle and having-been-relieved of-the pain to-the
προκειμένης ὁδοιπορίας εἶχετο. τήν τε Δάμαλιν διαπεράσας
proposed journey he-held — both Damalis having-crossed
καὶ τὸν ἀναμεταξὺ Κιβωτοῦ καὶ Αἰγιαλῶν διαπλωσάμενος
and the between Kibotos and Aigialoi having-sailed-across
πορθμὸν καὶ τὴν Κιβωτὸν καταλαβὼν ἐκεῖθεν εἰς τὸ
strait and — Kibotos having-reached from-there to —
Λοπάδιν ἄπεισι τὴν τῶν ταγμάτων ἐκδεχόμενος ἄφιξιν καὶ
Lopadion goes-off the of-the regiments awaiting arrival and
ὁπόσον μισθοφορικὸν μετεπέμπετο. ἐπὰν δὲ συνεληλύθεισαν
as-much-as mercenary(-force) he-sent-for when and had-come-together
ἅπαντες, ἀπάρας ἐκεῖθεν σὺν ὅλαις δυνάμεσι τὸ τοῦ κυρίου
all having-set-out from-there with whole forces the of-the lord
Γεωργίου καταλαμβάνει φρούριον ἀγχοῦ τῆς τῇ Νικαίᾳ
George reaches fortress near the — to-Nicaea
παρακειμένης λίμνης διακείμενον κἀκεῖθεν εἰς Νίκαιαν,
adjacent lake lying and-from-there to Nicaea
εἶτα διὰ τριῶν ἡμερῶν αὖθις ὑποστρέφει ἔνθεν τῆς γε
then after three days again returns on-this-side of-the at-least
τοῦ Λοπαδίου γεφύρας καὶ στρατοπεδεύει κατὰ τὴν Βρύσιν
— of-Lopadion bridge and encamps at the Spring
τοῦ Καρυκέως καλουμένην, οὕτω δόξαν αὐτῷ, ἵνα τὸ
— of-Karykeus called so it-seeming-good to-him that the
μὲν στράτευμα πρότερον διὰ τῆς γεφύρας διαβιβάσας
indeed army first through the bridge having-taken-across
ἐν ἐπικαίρῳ τόπῳ τὰς σκηνὰς πήξηται κᾆθ᾽ οὕτως καὶ
in suitable place the tents might-pitch and-then thus also
αὐτὸς ὁ αὐτοκράτωρ διὰ τῆς αὐτῆς γεφύρας διελθὼν
himself the autocrat through the same bridge having-passed

μετὰ παντὸς τοῦ στρατεύματος τὴν βασιλικὴν καταθείη
with all the army the imperial might-set
σκηνήν. οἱ δὲ μηχανικώτατοι Τοῦρκοι τὰ κατὰ
tent the and most-resourceful Turks the(-parts) throughout
τὴν περὶ τοὺς πρόποδας τῶν Λεντιανῶν καὶ τῆς οὕτω
the about the foothills of-the Lentiana and of-the so
καλουμένης Κοτοιραικίας διακειμένην πεδιάδα λῃζόμενοι,
called Kotoiraikia lying plain plundering
ἐπεὶ τὴν τοῦ αὐτοκράτορος κατ᾽ αὐτῶν μεμαθήκεισαν
when the of-the autocrat against them had-learned
ἔφοδον, ἐκδειματωθέντες παραυτίκα πυρσοὺς παμπόλλους
attack terrified at-once beacons very-many
ἀνῆψαν ἐντεῦθεν φαντασίαν τοῖς ὁρῶσι στρατιᾶς
lit thence appearance to-the(-men) seeing of-army
πολλῆς παρέχοντες τάχα. καὶ οἱ μὲν πυρσοὶ τὸν ἀέρα
great providing perhaps and the indeed beacons the air
ἐξέκαιον καὶ πολλοὺς τῶν ἀπείρων ἐξεδειμάτουν· τὸν δὲ
burned and many of-the inexperienced terrified the and
αὐτοκράτορα ἐθρόει τούτων οὐδέν. κἀκεῖνοι μὲν τὴν λείαν
autocrat disturbed of-these nothing and-they indeed the booty
πᾶσαν καὶ τοὺς δορυαλώτους ἀναλαβόμενοι ᾤχοντο· αὐτὸς
all and the spear-captives having-taken-up went-off he
δὲ κατὰ τὸ περίορθρον πρὸς τὴν ἤδη †ἐκεῖσε πεδιάδα
and at the early-dawn to the already there plain
ἠπείγετο σπεύδων αὐτοῦ που τούτους καταλήψεσθαι, ἀλλ᾽
hastened hurrying there somewhere them to-overtake but
ἀστοχήσας τῆς ἄγρας καὶ πολλοὺς μᾶλλον τῶν Ῥωμαίων
having-missed of-the quarry and many rather of-the Romans
ἔτι ἐμπνέοντας εὑρηκώς, πολλοῖς δὲ καὶ νεκρῶν σώμασιν
still breathing having-found many and also of-dead bodies
ἐντετυχηκὼς ἤχθετο ὡς εἰκὸς καὶ ἤθελε μὲν διώκειν, ἀλλ᾽
having-come-upon was-vexed as is-likely and wished indeed to-pursue but

ἵνα μὴ τὸ πᾶν ἀπολέσῃ θήραμα, μὴ δυνατοῦ ὄντος τοῦ
that not the whole he-should-lose quarry not possible being the
παντὸς στρατεύματος τοὺς φεύγοντας ὀξέως καταλαβεῖν,
whole army the fleeing swiftly to-overtake
χάρακα μὲν αὐτοῦ που περὶ τὸ Ποιμανηνὸν πήγνυται
palisade indeed there somewhere about — Poimanenon pitches
καὶ παραχρῆμα ἀπολεξάμενος γενναίους ψιλοὺς στρατιώτας
and immediately having-picked noble light soldiers
τὴν ἐπιδίωξιν τῶν βαρβάρων ἐπιτρέπει παραγγείλας ὅπως
the pursuit of-the barbarians entrusts having-enjoined how
χρὴ ἐπιπορεύσασθαι τοὺς ἀλάστορας. οἱ δὲ τούτους
it-is-needful to-go-after the accursed(-ones) they and them
ἐφθακότες εἴς τινα τόπον Κελλία ἐγχωρίως ὀνομαζόμενον
having-overtaken at a-certain place Kellia locally named
μετὰ τῆς λείας πάσης καὶ τῶν δορυαλώτων ὡς πῦρ
with the booty all and the spear-captives like fire
κατ᾽ αὐτῶν ἴενται καὶ αὐτίκα πλείστους μὲν μαχαίρας
against them rush and at-once most indeed of-sword
ἔργον ἐποιήσαντο, ἐνίους δὲ ζωγρήσαντες καὶ τὴν λείαν
work made some and having-taken-alive and the booty
πᾶσαν ἐκεῖθεν ἀναλαβόμενοι μετὰ νίκης λαμπρᾶς πρὸς
all from-there having-taken-up with victory brilliant to
τὸν αὐτοκράτορα ἐπανῆλθον. τούτους ἀποδεξάμενος καὶ
the autocrat returned them having-welcomed and
τὴν παντελῆ τῶν πολεμίων φθορὰν ἐγνωκὼς πρὸς τὸ
the utter of-the enemies destruction having-learned to —
Λοπάδιον ἐπανέρχεται. κεῖθι δὲ παραγενόμενος καὶ μῆνας
Lopadion returns there and having-arrived and months
τρεῖς ὅλους ἐγκαρτερήσας τὸ μέν τι δι᾽ ἀνυδρίαν
three whole having-held-out partly indeed somewhat because-of waterlessness
τῶν δι᾽ ὧν ἔμελλε διελθεῖν μερῶν (θέρους γὰρ ὥρα
of-the through which he-was-about to-pass parts of-summer for season

παρῆν καὶ ἡ ἀλέα ἀφόρητος), τὸ δὲ καὶ τὸ μήπω
was-present and the heat unbearable partly and also the not-yet
φθάσαν τοῦ μισθοφορικοῦ στρατεύματος ἀπεκδεχόμενος.
having-arrived of-the mercenary army awaiting
ἐπὰν δὲ ἅπαντες ἀθροισθεῖεν ἐκεῖ, ἐξαναστὰς ἅπαν τὸ
when and all should-be-gathered there having-risen all the
ὁπλιτικὸν τηνικαῦτα κατὰ τὰς ἀκρολοφίας τοῦ Ὀλύμπου
heavy-armed-force at-that-time on the hilltops of-the Olympus
καταθέμενος καὶ τῶν οὕτω καλουμένων Μαλάγνων αὐτὸν
having-placed and of-the so called Malagna itself
τὸν Ἀέρα κατέλαβε. τῆς δὲ βασιλίδος κατὰ τὴν Πρίγκιπον
— Aer reached the and empress at — Prinkipos
αὐλιζομένης, ἵν' ἔχοι ῥᾷον ἐκεῖθεν τὰ περὶ τοῦ
encamped that she-might-have easier from-there the(-things) about the
αὐτοκράτορος μανθάνειν περὶ τὸ Λοπάδιον ἐπανελθόντος,
autocrat to-learn about — Lopadion having-returned
ὁ βασιλεὺς ἅμα τῷ τὸν Ἀέρα καταλαβεῖν διὰ τοῦ
the emperor at-once with-the — Aer to-reach through the
βασιλικοῦ μονήρους μεταπέμπεται αὐτὴν τὸ μέν τι
imperial monoreme sends-for her partly indeed somewhat
καὶ τὸ ἄλγος ὑφορώμενος ἀεὶ τῶν ποδῶν, τὸ δέ τι
also the pain suspecting always of-the feet partly and somewhat
καὶ τοὺς συμπαρομαρτοῦντας αὐτῷ τῶν ἐγκολπίων ἐχθρῶν
also the accompanying him of-the bosom enemies
δεδιὼς διὰ τὴν ἄκραν αὐτῆς περὶ αὐτὸν ἐπιμέλειαν
fearing because-of the utmost her about him care
καὶ τὸ ἀγρυπνικώτατον ὄμμα.
and the most-wakeful eye

XLIV · THE AUGUSTA SENT BACK

Messengers come one after another that the Turks are near, and the Augusta, brave like Solomon's woman, hides her fear and sails for Byzantium, until a rough sea holds her at Helenopolis. Stypeiotes and Strabobasileios, who had watched the Germia passes, defeat the Turks on the plains. Alexios meets the Augusta again at Helenopolis, tells her of the victory, and, judging after alarms at Nicaea that the sultan would only flee beyond Ikonion, quarters the army at Nikomedeia in the villages to fatten the horses before taking up the war again.

Οὔπω τρίτη παρῆλθεν ἡμέρα καὶ ὁ περὶ τὸν βασιλικὸν
not-yet third passed day and the(-man) about the imperial
κοιτωνίσκον ἀσχολούμενος κατὰ τὸ περίορθρον ἐλθὼν
bedchamber occupied at the early-dawn having-come
ἀγχοῦ τοῦ βασιλικοῦ σκίμποδος εἱστήκει. ἡ δὲ βασίλισσα
near the imperial couch stood the and empress
διυπνισθεῖσα καὶ τοῦτον θεασαμένη Τούρκων ἡμῖν ἔφοδον
having-awoken and him having-beheld of-Turks to-us attack
ἀπαγγέλλειν ἔφη. τοῦ δὲ περὶ τὸ οὕτω καλούμενον τοῦ
to-announce she-said he and about the so called —
Γεωργίου φρούριον ἐφθακέναι λέγοντος κατεσίγασε τοῦτον
of-George fortress to-have-arrived saying silenced him
ἡ βασιλὶς τῇ χειρί, ἵνα μὴ τὸν αὐτοκράτορα διυπνίσῃ.
the empress the hand that not the autocrat he-should-awaken
ὁ δὲ ἐν αἰσθήσει τῶν λεγομένων γεγονὼς ἐπὶ ταὐτῷ
he and in perception of-the said(-things) having-become in the-same
σχήματι καὶ γνώμης τέως ἦν· ἀνίσχοντος δὲ τοῦ ἡλίου
posture and mind for-the-time was rising and the sun
πρὸς τὰς συνήθεις ἐργασίας ἐτράπετο ὅλος τῆς τούτου
to the customary tasks turned whole of-the his
προμηθείας γεγονώς. οὔπω τρίτη παρῆλθεν ὥρα καὶ ἕτερος
forethought having-become not-yet third passed hour and another

ἐκεῖθεν καταλαβὼν ἐγγίζειν ἤδη τοὺς βαρβάρους ἔλεγεν.
from-there having-arrived to-be-near already the barbarians said
ἡ δὲ αὐτοκρατόρισσα ἔτι συμπαρῆν τῷ αὐτοκράτορι
the and empress still was-present-with the autocrat
δειλιῶσα μὲν ὡς εἰκός, ἐξεχομένη δὲ ὅμως τῆς ἐκείνου
fearing indeed as is-likely holding-to and nevertheless the his
γνώμης. ἐπὰν δὲ πρὸς ἄριστον οἱ βασιλεῖς ἠπείγοντο,
mind when and to breakfast the sovereigns hastened
ἕτερος ἡμαγμένος καταλαβὼν προσουδίσας τοῖς ποσὶ τοῦ
another bloodied having-arrived having-thrown-down at-the feet of-the
αὐτοκράτορος ἑαυτὸν ὑπὲρ κεφαλῆς τὸν κίνδυνον ἵστασθαι
autocrat himself over head the danger to-stand
ἐπώμνυτο τῶν βαρβάρων ἤδη ἐπικαταλαμβανόντων. ὁ
swore of-the barbarians already overtaking the
δὲ αὐτοκράτωρ εὐθὺς τὴν πρὸς τὸ Βυζάντιον ἐπάνοδον
and autocrat at-once the to — Byzantium return
τὴν αὐτοκρατόρισσαν ἐπέτρεψεν. ἡ δὲ πτοηθεῖσα ἐν
to-the empress entrusted she and having-been-frightened in
μυχοῖς καρδίας ὅμως εἶχε τὸν φόβον καὶ οὔτε λόγοις
recesses of-heart nevertheless held the fear and neither by-words
οὔτε σχήμασι τοῦτον ἐνέφαινεν. ἀνδρεία γὰρ καὶ στάσιμος
nor by-postures it showed brave for and steadfast
οὖσα τὴν φρένα καθάπερ ἡ παρὰ τοῦ Σολομῶντος ἐν
being the mind like the by — Solomon in
παροιμίαις ὑμνουμένη ἐκείνη γυνὴ οὐ γυναικῶδές τι
proverbs hymned that woman not womanish anything
ἐνεδείξατο καὶ ἀθαρσὲς ἦθος, οἷα τὰ πολλὰ τὰς γυναῖκας
displayed and timid character such-as the many-times the women
ὁρῶμεν πασχούσας, ἐπειδάν τι φοβερὸν ἀκούσωσι·
we-see suffering whenever anything fearful they-hear
καὶ αὐτὸ τὸ χρῶμα κατηγορεῖ τῆς ψυχῆς τὴν δειλίαν,
and itself the color accuses of-the soul the cowardice

καὶ συχνάκις ἀνακωκύουσι γοερὸν ὥσπερ ἐκ τοῦ σχεδὸν
and often they-wail mournfully as-if from the near
αὐταῖς τῶν δεινῶν ἐφεστηκότων. ἀλλ᾽ ἥ γε βασιλὶς
to-them the terrors standing-over but the at-least empress
ἐκείνη, κἂν ἐδεδοίκει, περὶ τῷ αὐτοκράτορι ἐδεδοίκει,
that even-if she-had-feared about the autocrat she-had-feared
μή τι πάθῃ ἄτοπον· δευτέρως δὲ περὶ ἑαυτῆς
lest something he-might-suffer untoward secondly and about herself
ἐπεφόβητο. οὐ τοίνυν ἐκείνη κατ᾽ ἐκεῖνο καιροῦ ἀνάξιόν
was-afraid not therefore she at that of-time unworthy
τι τῆς ἑαυτοῦ γενναιότητος ἐπεπόνθει, ἀλλ᾽ ἐχωρίζετο
anything of-the her-own nobility had-suffered but was-parted
μὲν τοῦ αὐτοκράτορος ἄκουσα καὶ πυκνὰ περιστρεφομένη
indeed from-the autocrat unwilling and often turning-around
πρὸς ἐκεῖνον καὶ θαμὰ προσβλέπουσα, ὅμως μέντοι
toward him and frequently looking-at nevertheless however
συντείνασα ἑαυτὴν καὶ οἷον τονώσασα μόγις ἀπηλλάγη
having-braced herself and as-it-were having-strengthened hardly was-parted
τοῦ βασιλέως. κἀκεῖθεν καταβᾶσα πρὸς θάλασσαν
from-the emperor and-from-there having-gone-down to sea
κἄπειτα εἰς τὸ ταῖς βασιλίσιν ἀποτεταγμένον μονῆρες
and-then into the to-the empresses assigned monoreme
εἰσεληλυθυῖα τὴν ᾐόνα τῆς Βιθυνῶν παραπλέουσα
having-entered the shore of-the(-land) of-Bithynians sailing-along
θαλαττίου κλύδωνος αὐτὴν κατασχόντος ταῖς ἀκταῖς τῆς
of-sea surge her having-held-back at-the headlands —
Ἑλενουπόλεως τὴν ναῦν προσορμίσασα κεῖθι τέως
of-Helenopolis the ship having-moored there for-the-time
αὐλίζεται. ἀλλὰ ταῦτα μὲν τὰ περὶ τὴν Αὔγουσταν·
encamps but these(-things) indeed the(-things) about the Augusta
ὁ δὲ αὐτοκράτωρ μετὰ τῶν συνόντων στρατιωτῶν
the and autocrat with the being-with(-him) soldiers

τε καὶ συγγενῶν εὐθὺς ἐπὶ τοῖς ὅπλοις ἦν. καὶ δὴ
both and kinsmen at-once at the arms was and indeed
ἐποχηθέντες ἅπαντες τὴν πρὸς Νίκαιαν ὥδευον. οἱ
having-mounted all the to Nicaea marched the
δὲ βάρβαροι Ἀλανόν τινα κατασχόντες καὶ τὴν τοῦ
and barbarians Alan a-certain having-seized and the of-the
βασιλέως κατ᾽ αὐτῶν ἔφοδον δι᾽ αὐτοῦ μεμαθηκότες, δι᾽
emperor against them attack through him having-learned by
ὧν ἦλθον ἀτραπῶν, διὰ τούτων ἐπανῄεσαν φεύγοντες.
which they-came paths by these returned fleeing
ὁ δέ γε Στραβοβασίλειος καὶ Μιχαὴλ ὁ Στυπειώτης
— and at-least Strabobasileios and Michael the Stypeiotes
(Στυπειώτην δὲ ἀκούων τις μὴ τὸν μιξοβάρβαρον
Stypeiotes and hearing anyone not the half-barbarian
νοείτω· ἀργυρώνητος γὰρ τούτου ἐκεῖνος δοῦλος γεγονὼς
let-understand silver-bought for of-this that slave having-been
ἐς ὕστερον τῷ βασιλεῖ ὡς δῶρόν τι πρὸς αὐτὸν
at later to-the emperor as gift a-certain to him
προσενήνεκται· ἀλλά τινα τῶν τῆς μείζονος τύχης), ἄνδρες
has-been-offered but some of-the of-the greater fortune men
οὗτοι μαχιμώτατοι καὶ τῶν πάλαι ὑμνουμένων, κατὰ τὰς
these most-warlike and of-the long-ago hymned on the
ἀκρολοφίας τῶν Γερμίων ἐνδιατρίβοντες καὶ τὰς ἀμφόδους
hilltops of-the Germia spending-time and the roads
περισκοποῦντες, εἴ που ταῖς ἄρκυσιν αὐτῶν καθάπερ τις
watching-around if somewhere in-the nets their like some
θήρα οἱ βάρβαροι περιπεσόντες ἁλῷεν, ὡς τὴν τούτων
quarry the barbarians having-fallen might-be-caught when the their
ἔλευσιν μεμαθήκεισαν, παρὰ τὰς πεδιάδας τὰς οὕτω
coming they-had-learned by the plains the so
καλουμένας *** ἀνελθόντες καὶ ἀναδεξάμενοι τὸν μετ᾽
called (lacuna) having-gone-up and having-taken-up the with

αὐτῶν πόλεμον μάχην συνεστήσαντο καρτερὰν ἡττήσαντες
them war battle joined stout having-defeated
τούτους κατὰ κράτος. καταλαβὼν δὲ ὁ αὐτοκράτωρ τὸ
them by force having-reached and the autocrat the
πολλάκις εἰρημένον φρούριον Γεωργίου κἀκεῖθεν αὖθις
often mentioned fortress of-George and-from-there again
κωμόπολίν τινα Σαγουδάους ἐγχωρίως καλουμένην καὶ
village-town a-certain Sagoudaous locally called and
τοῖς Τούρκοις μὲν μὴ ἐντυχών, μεμαθηκὼς δὲ τὰ
the Turks indeed not having-met having-learned and the(-things)
συμβάντα τούτοις παρὰ τῶν ἤδη ῥηθέντων γενναίων
having-befallen them from the already said noble
ἀνδρῶν, τοῦ τε Στυπειώτου καὶ τοῦ Στραβοβασιλείου φημί,
men — both of-Stypeiotes and — of-Strabobasileios I-mean
καὶ ἀποδεξάμενος τὴν ἐξ αὐτῆς ἀρχῆς τόλμαν καὶ νίκην
and having-welcomed the from the-very beginning daring and victory
τῶν Ῥωμαίων, τηνικαῦτα ὁ αὐτὸς αὐτοῦ που ἔξωθεν
of-the Romans at-that-time the same there somewhere outside
τουτουΐ τοῦ καστελλίου τὸν χάρακα πήγνυται. τῇ
this the castle the palisade pitches on-the(-day)
δὲ μετ᾽ αὐτὴν ὡς παρὰ τὴν Ἑλενούπολιν κατελθὼν τῇ
and after it as by — Helenopolis having-come-down the
βασιλίδι ἐντετυχήκει ἔτι αὐλιζομένῃ διὰ τὸ τῆς θαλάττης
empress had-met still encamped because-of the of-the sea
ἄπλωτον. διηγησάμενος οὖν τὰ συμβάντα τοῖς Τούρκοις
unnavigable having-narrated then the(-things) having-befallen the Turks
καὶ ὡς νίκης ἐπιθυμοῦντες συμφορᾷ προσεπέλασαν καὶ
and how victory desiring disaster they-approached and
κρατεῖν φανταζόμενοι μᾶλλον κεκράτηνται καὶ τἀναντία
to-conquer imagining rather had-been-conquered and the-opposite
τῶν προσδοκηθέντων ἐφεύροσαν καὶ τῆς πολλῆς ἀθυμίας
of-the expected found and from-the much despondency

ἀνακτησάμενος αὐτὴν ἄπεισιν ὡς πρὸς Νίκαιαν. ἐκεῖσε
having-revived her goes-off as to Nicaea there
δὲ ἔφοδον ἑτέρων μεμαθηκὼς Τούρκων ἔρχεται πρὸς τὸ
and attack of-other having-learned Turks comes to —
Λοπάδιον· ἐν ᾧ μικρὸν χρονοτριβήσας καὶ μεμαθηκὼς
Lopadion in which a-little having-spent-time and having-learned
τὴν Νίκαιαν καταλαμβάνειν πολὺ Τουρκικὸν στράτευμα
— Nicaea to-reach much Turkish army
τὰς δυνάμεις ἀναλαβόμενος ἀπονεύει πρὸς Κίον καὶ δι᾽
the forces having-taken-up turns-aside to Kios and through
ὅλης τῆς αὐτῆς νυκτὸς μεμαθηκὼς αὐτοὺς τῇ Νικαίᾳ
whole the same night having-learned them — to-Nicaea
προσπελάζειν ἤδη ἀπάρας ἐκεῖθεν ἔρχεται διὰ τῆς
to-approach already having-set-out from-there comes through —
Νικαίας πρὸς Μίσκουραν. καὶ αὐτοῦ που βεβαιωθείς,
Nicaea to Miskoura and there somewhere having-been-assured
ὡς τὸ μὲν ἅπαν στράτευμα τῶν Τούρκων οὔπω κατέλαβεν,
that the indeed whole army of-the Turks not-yet arrived
ὀλίγοι δέ τινες παρὰ τοῦ Μονολύκου ἀποσταλέντες κατὰ
few and certain by — Monolykos sent at
τὸ Δολύλον ἐνδιατρίβουσι καὶ τὰ τῆς Νικαίας μέρη, ἐφ᾽
— Dolylon spend-time and the — of-Nicaea parts for
ᾧ τὴν αὐτοῦ περισκοπεῖν ἔλευσιν καὶ τὰς περὶ αὐτοῦ
which the his to-watch-for coming and the about him
τῷ Μονολύκῳ διδόναι συνεχεῖς εἰδήσεις, Λέοντα μὲν τὸν
— to-Monolykos to-give continual reports Leo indeed the
Νικερίτην μετὰ τῶν ὑπ᾽ αὐτὸν δυνάμεων εἰς τὸ Λοπάδιον
Nikerites with the under him forces to — Lopadion
πέπομφεν ἐγρηγορέναι τε διὰ παντὸς παρακελευσάμενος
sent to-be-wakeful both through all having-exhorted
καὶ τὰς ἀμφόδους ἐπιτηρεῖν καὶ ἄττα δὴ περὶ τῶν
and the roads to-watch and whatever indeed about the

Τούρκων γνοίη, ταῦτα διὰ γραφῶν δηλοῦν αὐτῷ·
Turks he-should-learn these(-things) through letters to-make-known to-him
τὸ δὲ ἐπίλοιπον στράτευμα ἐν ἐπικαίροις καταθέμενος
the and remaining army in suitable having-placed
τόποις διέγνω βέλτιον εἶναι μηκέτι κατὰ τοῦ σουλτάνου
places he-judged better to-be no-longer against the sultan
χωρεῖν στοχαζόμενος τοὺς σωθέντας βαρβάρους τὴν κατ'
to-advance conjecturing the saved barbarians the against
αὐτῶν ὁρμὴν διακηρυκεύσασθαι τοῖς κατὰ τὴν Ἀσίαν
them onset to-proclaim to-the in — Asia
ἅπασι Τούρκοις, ὡς ἐν διαφόροις *** ἐντετυχηκότες τοῖς
all Turks how in various (lacuna) having-met the
Ῥωμαίοις προσέβαλλον, ὡς καρτερῶς ἀντέστησαν, ὡς
Romans they-attacked how strongly they-resisted how
ἡττηθέντες οἱ μὲν ἑάλωσαν, οἱ δὲ ἀνῃρέθησαν,
being-defeated the(-ones) indeed were-captured the(-others) and were-killed
ὀλίγοι δὲ καὶ τραυματισθέντες ἀπῴχοντο, κἀκ τούτου
few and also wounded went-off and-from this
διαγνόντες τὴν αὐτοῦ ἐπέλευσιν οἱ βάρβαροι πορρωτέρω
having-learned the his approach the barbarians farther
καὶ αὐτοῦ Ἰκονίου γενήσονται καὶ κενόσπουδος αὐτῷ ἡ
even very than-Ikonion will-be and vain to-him the
σπουδὴ γένηται. διὰ ταῦτα στρέψας τοὺς χαλινοὺς
zeal may-become because-of these(-things) having-turned the reins
διὰ τῆς Βιθυνῶν τὴν Νικομήδειαν κατέλαβεν, ἵν'
through the(-land) of-Bithynians — Nikomedeia reached that
ἐντεῦθεν ἀπελπίσαντες τὴν κατ' αὐτῶν ἔφοδον ἐπανέλθοιεν
thence having-despaired-of the against them attack might-return
ἕκαστος, οὗπερ τὴν οἴκησιν πρότερον ἐπεποίητο· ἐπὰν δὲ
each where the dwelling earlier had-made when and
ἀποθαρρήσαντες αὖθις εἰς προνομὴν σκεδασθεῖεν, ὡς ἔθος
having-taken-courage again for foraging should-be-scattered as custom

τοῖς Τούρκοις, καὶ αὐτὸς ὁ σουλτάνος τοῦ προτέρου
for-the Turks and himself the sultan of-the former
ἅψηται ἔργου, τηνικαῦτα καὶ αὐτὸς τῶν στρατιωτῶν
should-touch work then also he of-the soldiers
μικρὸν ἀναπαυσαμένων καὶ τῶν ἵππων καὶ ὑποζυγίων
a-little having-rested and the horses and pack-animals
πιόνων ἐντεῦθεν γεγονότων μετ᾽ οὐ πολὺ σφοδρότερον τοῦ
fat thence having-become after not much more-vehemently the
κατ᾽ αὐτῶν ἅψηται πολέμου καὶ τῆς μάχης καρτερῶς
against them should-touch war and to-the battle strongly
ἀνθέξεται. διὰ ταῦτα τὴν Νικομήδειαν ἀναζητήσας,
will-hold-on because-of these(-things) — Nikomedeia having-sought
ὡς εἴρηται, καὶ καταλαβὼν τοὺς συνεφεπομένους αὐτῷ
as has-been-said and having-reached the following him
ἅπαντας τῶν στρατιωτῶν εἰς τὰς ἐγγύθι κωμοπόλεις
all of-the soldiers into the nearby village-towns
κατέθετο, ὡς οἵ τε ἵπποι καὶ τὰ ὑποζύγια τροφὴν
placed so-that the both horses and the pack-animals food
ἀποχρῶσαν ἔχοιεν τῆς Βιθυνῶν γῆς πολὺν τὸν χόρτον
sufficient might-have of-the of-Bithynians land much the fodder
ἀναδιδούσης καὶ αὐτοὶ δὴ οἱ στρατιῶται ῥᾳδίως ἀπό
producing and themselves indeed the soldiers easily from
τε τῆς Βυζαντίδος καὶ τῶν πέριξ διὰ τοῦ παρακειμένου
both — Byzantis and the around through the adjacent
κόλπου ἀποχρῶντα τὰ πρὸς χρείαν κομίζοιντο,
gulf sufficient the(-things) for need might-procure
ἐπισκήψας αὐτοῖς ὅλῃ γνώμῃ πολλὴν ἐπιμέλειαν τῶν
having-enjoined them with-whole mind much care of-the
ἵππων καὶ ἀχθοφόρων κτηνῶν ποιεῖσθαι καὶ μηδ᾽ εἰς
horses and burden-bearing beasts to-make and not-even for
θήραν μηδ᾽ εἰς ἱππηλάσιον τὸ παράπαν ἐξιέναι, ἵνα καιροῦ
hunting nor for horse-riding the at-all to-go-out that time

καλοῦντος πίονες ὄντες τοὺς ἐπιβάτας εὐχερῶς φέροιεν καὶ
calling fat being the riders easily might-carry and
πρὸς τὰς κατὰ τῶν ἐχθρῶν ἱππασίας χρήσιμοι αὐτοῖς εἶεν.
for the against the enemies ridings useful to-them might-be

XLV · THE NEW BATTLE-LINE

At Nikomedeia the Augusta hears the emperor's opponents sneer in the streets that the emperor did nothing. Anna answers that true courage wins with good counsel, and that her father, like a caltrop, always landed on his feet; she defends herself against the charge of praising him. Alexios trains recruits in the battle-line he invented, which he drew on parchment. In autumn he marches by Pithekas and the Armenokastron to the plain of Dorylaion and sets out the formation, built against the Turkish way of fighting with arrows.

Ταῦτα τοιγαροῦν οἰκονομήσας ἐκεῖνος οἷα σκοπὸς καθῆστο
these(-things) accordingly having-arranged he like lookout sat
πόρρωθεν φύλακας διὰ πάσης ἀτραποῦ ἐπιστήσας· μέλλων
from-afar guards through every path having-set being-about
δὲ αὐτοῦ που ἡμέρας ἱκανὰς αὐλίζεσθαι μεταπέμπεται
and there somewhere days considerable to-encamp sends-for
τὴν Αὔγουσταν δι' ἃς πολλάκις αἰτίας εἰρήκειμεν, ἐφ'
the Augusta for which often reasons we-had-said for
ᾧ συνεῖναι τούτῳ, μέχρις ἂν τὰς τῶν βαρβάρων
which to-be-with him until — the of-the barbarians
ἐφόδους ἐνωτισθεὶς ἐκεῖθεν ἀπᾶραι βουληθείη. ἡ δὲ
attacks having-heard from-there to-set-out he-should-wish she and
θᾶττον τὴν Νικομήδειαν καταλαμβάνει· ὁρῶσα δέ τινας
more-quickly — Nikomedeia reaches seeing and some
τῶν ἐναντίων ἐπιγανυμένους οἷον ἐφ' οἷς ὁ βασιλεὺς
of-the opponents exulting as-it-were at what the emperor

ἠπρακτήκει καὶ πανταχοῦ διαλοιδορουμένους τῷ βασιλεῖ
had-failed-in and everywhere railing-at the emperor
καὶ ὑποψιθυρίζοντας, ὡς ἄρα κατὰ τῶν βαρβάρων
and whispering that after-all against the barbarians
τοσοῦτον παρασκευασάμενος καὶ πολλὰς συνειλοχὼς
so-much having-prepared and many having-collected
δυνάμεις καὶ μηδὲν μέγα ἠνυκὼς ἀπέκλινε πρὸς τὴν
forces and nothing great having-accomplished he-turned-aside to —
Νικομήδειαν, καὶ τοῦτο οὐκ ἐν γωνίαις μόνον, ἀλλὰ καὶ
Nikomedeia and this not in corners only but also
ἐν πλατείαις καὶ ἀμφόδοις καὶ τριόδοις ἀναισχυντότερον
in streets and roads and crossroads rather-shamelessly
λέγοντας ἠνιᾶτο καὶ ἤσχαλλεν. ὁ δὲ αὐτοκράτωρ τὸ
saying was-grieved and was-distressed the and autocrat the
πέρας τῆς κατὰ τῶν ἐχθρῶν αὐτοῦ ὁρμῆς αἴσιον ἔσεσθαι
end of-the against the enemies his onset auspicious to-be
στοχαζόμενος, δεινὸς ὢν περὶ τὰ τοιαῦτα παρ᾽ οὐδὲν μὲν
conjecturing skilled being about the such-things as nothing indeed
τὰς διατριβὰς ἐκείνων καὶ νεμέσεις ἐτίθετο, ὡς παιδαρίων
the talk their and indignations set as of-children
ἀθυρμάτων πάμπαν τῶν τοιούτων καταφρονῶν καὶ τοῦ
of-toys altogether the such-things despising and the
νηπιώδους αὐτῶν καταγελῶν φρονήματος· τὴν δέ γε
childish their mocking spirit the and at-least
Αὔγουσταν κρείττοσιν ἀνεκτᾶτο λογισμοῖς αὐτὸ τοῦτ᾽
Augusta with-better revived reasonings itself this
ἔσεσθαι μείζονος νίκης αἴτιον ἐπομνύμενος, ὅπερ ἐκεῖνοι
to-be of-greater victory cause swearing which they
διασύρουσιν. ἐγὼ μὲν οὖν ἀνδρείαν οἶμαι, ὅταν τις σὺν
disparage I indeed then courage I-think when someone with
εὐβουλίᾳ τῆς νίκης κρατήσειε· τὸ γὰρ θυμοειδὲς τῆς ψυχῆς
good-counsel the victory should-win the for spirited(-part) of-the soul

καὶ δραστήριον ἄνευ τοῦ φρονεῖν κατηγορούμενον γίνεται
and energetic without the to-think accused becomes
καὶ θράσος ἐστὶν ἀντὶ θάρσους. θαρροῦμεν γὰρ τοῖς
and rashness is instead-of courage we-are-courageous for in-the
ὅπλοις καθ' ὧν δυνάμεθα· θρασυνόμεθα δὲ καὶ καθ' ὧν
arms against whom we-can are-rash and also against whom
οὐ δυνάμεθα, ὥσθ' ὁπόταν κίνδυνος ἡμῖν ἐπικρέμαται, ἀπὸ
not we-can so-that whenever danger to-us hangs-over from
*** κατὰ πρόσωπον προσβαλεῖν, τότε τρόπον ἕτερον τὸν
(lacuna) in face to-attack then manner other the
πόλεμον μεταχειριζόμεθα καὶ ἀμαχεὶ τῶν ἐχθρῶν κρατεῖν
war we-handle and without-battle the enemies to-conquer
ἐπειγόμεθα. καὶ πρώτη ἐστὶν ἀρετῶν ἡ στρατηγῶν σοφία
we-hasten and first is of-virtues the of-generals wisdom
κτᾶσθαι νίκην ἀκίνδυνον· τέχνῃ δ' ἡνίοχος περιγίνεται
to-gain victory without-danger by-skill and charioteer prevails
ἡνιόχοιο, φησὶν Ὅμηρος. τὸ γὰρ μετὰ κινδύνου νικᾶν
over-charioteer says Homer the for with danger to-conquer
καὶ ἡ Καδμόθεν παροιμία διαφαυλίζει. ἐμοὶ δὲ ἄριστον
also the Cadmean proverb disparages to-me and best
νενόμισται καὶ τὸ ἐν αὐτῇ τῇ μάχῃ μηχανᾶσθαί τι
has-been-reckoned also the in itself the battle to-contrive something
πανοῦργον καὶ στρατηγικόν, ὁπηνίκα μὴ ἀπόχρη τὸ
crafty and generalship-like whenever not suffices the
στράτευμα πρὸς τὴν τῶν ἐναντίων ἰσχύν· καθώς ἐστιν ἐκ
army against the of-the opponents strength as is from
τῆς ἱστορίας ἀναλέγεσθαι τῷ βουλομένῳ, ὡς οὐκ ἄρα
the history to-gather for-the wishing that not after-all
μονότροπος ἡ νίκη οὐδὲ μονοειδής, ἀλλὰ διαφόροις κόποις
of-one-way the victory nor of-one-form but by-various labors
πάλαι μέχρι τοῦ δεῦρο κατορθουμένη, ὥστε τὴν μὲν νίκην
long-ago until the hither achieved so-that the indeed victory

μίαν εἶναι, τοὺς δὲ τρόπους, δι' ὧν αὕτη τοῖς στρατηγοῖς
one to-be the and ways by which this to-the generals
περιγίνεται, διαφόρους τε καὶ ποικίλους τὴν φύσιν. τινὲς
comes various both and manifold the nature some
γὰρ τῶν πάλαι ὑμνουμένων στρατηγῶν αὐτῇ ἰσχύϊ ***
for of-the long-ago hymned generals by-very strength (lacuna)
τῷδε τρόπῳ τοὺς ἐναντίους νικήσαντες φαίνονται· ἄλλῳ
this-here way the opponents having-conquered appear by-another
δὲ ἄλλοι πολλάκις χρησάμενοι τὴν νικῶσαν εἶχον. ὁ
and others often having-used the victory had the
δέ γε ἐμὸς πατὴρ καὶ βασιλεὺς ὅπου μὲν ἀλκῇ τῶν
and at-least my father and emperor where indeed by-might the
ἐναντίων ἐκράτει, ὅπου δὲ καὶ περινοίᾳ τινὶ χρησάμενος,
opponents conquered where and also forethought some having-used
ἔστι δ' οὗ κἀν ταῖς μάχαις αὐταῖς ὀξύ τι
there-is and when also-in the battles themselves keen something
στοχασάμενος καὶ τολμήσας τὴν νικῶσαν εἶχεν εὐθύς.
having-conjectured and having-dared the victory had at-once
ὅπου μὲν καὶ στρατηγικῷ μηχανήματι συγχρησάμενος,
where indeed also by-military device having-made-use
ὅπου δὲ καὶ διὰ χειρῶν μαχόμενος πολλὰ πολλάκις ἐξ
where and also by hands fighting many often from
ἀπροσδοκήτων ἐστήσατο τρόπαια. ἦν μὲν γάρ, εἴπερ
unexpected(-things) set-up trophies he-was indeed for if
ἄλλος τις, καὶ φιλοκίνδυνος ὁ ἀνήρ, καὶ συνεχεῖς ἦν ὁρᾶν
other any also danger-loving the man and continual it-was to-see
αὐτῷ τοὺς κινδύνους ἐγειρομένους, ἀλλὰ ποτὲ μὲν γυμνῇ
for-him the dangers being-raised but sometimes indeed with-bare
τῇ κεφαλῇ πρὸς τούτους παραπεδύετο καὶ ὁμόσε
the head to them he-plunged and to-close-quarters
τοῖς βαρβάροις ἐχώρει, ποτὲ δὲ καὶ ἐσχηματίζετο
with-the barbarians advanced sometimes and also pretended

ὑποκατακλίνεσθαι καὶ τὸν ὀρρωδοῦντα ὑπεκρίνετο, ὡς
to-give-way and the fearful acted as
καιρὸς ἐδίδου καὶ τὰ πράγματα ὑπηγόρευε. καὶ ἵνα
time gave and the circumstances dictated and that
συνελοῦσα τὸ πᾶν εἴποιμι, καὶ φεύγων ἐκράτει καὶ διώκων
summing-up the whole I-might-say both fleeing he-prevailed and pursuing
ἐνίκα, καὶ ἵστατο καταπίπτων καὶ καταβάλλων ὄρθιος
he-conquered and stood falling and throwing-down upright
ἦν κατὰ τὴν τῶν τριβόλων θέσιν· καὶ ταῦτα γὰρ
he-was like the of-the caltrops position and these(-things) for
ὅπως ἂν ῥίψειας ὀρθά σοι ἑστήξεται. πάλιν δ' ἐνταῦθα
however — you-throw upright for-you will-stand again and here
γενομένη παραιτοῦμαι τὴν μέμψιν, ὅτι περιαυτολογοῦσα
having-come I-deprecate the blame that self-praising
καταλαμβάνομαι· ἀλλὰ πολλάκις ἀπελογησάμην, ὅτι οὐχ ἡ
I-am-caught but often I-have-defended-myself that not the
τοῦ πατρὸς εὔνοια τοὺς λόγους τούτους παρέχεται, ἀλλ' ἡ
of-the father goodwill the words these provides but the
τῶν πραγμάτων φύσις. τί γὰρ κωλύει πρὸς τῆς ἀληθείας
of-the facts nature what for prevents by the truth
αὐτῆς, καὶ φιλοπάτορα εἶναι κατὰ ταὐτόν τινα καὶ
itself both father-loving to-be at the-same someone and
φιλαλήθη; ἐγὼ μὲν γὰρ τἀληθῆ προειλόμην ξυγγράφειν
truth-loving I indeed for the-true-things chose to-write
καὶ περὶ ἀνδρὸς ἀγαθοῦ· εἰ δὲ τὸν αὐτὸν ξυμβέβηκεν εἶναι
and about man good if and the same it-has-happened to-be
καὶ πατέρα τοῦ ξυγγραφέως, τὸ μὲν τοῦ πατρὸς ὄνομα
also father of-the writer the indeed of-the father name
προσερρίφθω ἐνταῦθα καὶ κείσθω ἐκ τοῦ παρέλκοντος·
let-be-thrown-in here and let-lie from the superfluous
τῇ δὲ φύσει τῆς ἀληθείας ἀνακείσθω τὸ σύγγραμμα.
to-the and nature of-the truth let-be-dedicated the writing

ἐν ἄλλοις μὲν γὰρ τὴν πρὸς τὸν πατέρα ἐνεδειξάμην
in other(-places) indeed for the toward the father I-displayed
εὔνοιαν καὶ διὰ τοῦτο καὶ δυσμενῶν κατ᾽ ἐμαυτῆς
goodwill and because-of this also of-enemies against myself
ἠκόνησα δόρατα καὶ ξίφη παρέθηξα. καὶ ἴσασιν ὁπόσοι
I-whetted spears and swords I-sharpened and they-know as-many-as
τὰ καθ᾽ ἡμᾶς οὐκ ἠγνόησαν πράγματα. οὐ μὴν ἐν
the concerning us not ignored affairs not indeed in
τῷ τῆς ἱστορίας σχήματι καταπροδοίην ἂν τὴν ἀλήθειαν.
the of-the history form I-would-betray — the truth
ἄλλος μὲν γὰρ καιρός· ἐστιν εὐνοίας πατρικῆς, καθ᾽ ὃν
other indeed for time is of-goodwill paternal at which
ἡμεῖς ἠνδρισάμεθα, ἕτερος δὲ καιρὸς ἀληθείας, ὅντινα
we played-the-man other and time of-truth which
παραπεπτωκότα οὐκ ἂν παρὰ φαῦλον θείην. εἰ δ᾽, ὅπερ
having-fallen-to-us not — as of-little-worth I-would-set if and what
εἶπον, καὶ φιλοπάτορας ἡμᾶς συναποδείκνυσιν ὁ καιρὸς
I-said also father-loving us shows-together the time
οὗτος, οὐ †παρὰ τοῦ τὰ τῆς ἀληθείας ἐπηλυγάσαι τὸ
this not from the the(-things) of-the truth to-obscure the
τῶν ἀνθρώπων μεμψίμοιρον. ὁ μέντοι λόγος ἀνατρεχέτω
of-the men fault-finding the however account let-run-back
αὖθις πρὸς τὸ προκείμενον. ἄλλο δ᾽ οὐδὲν ὁ αὐτοκράτωρ
again to the proposed(-matter) other and nothing the autocrat
ἔργον εἶχεν, ἐφ᾽ ὅσον ἐκεῖ που τὴν αὐλαίαν ἐπήγνυτο,
work had for as-long-as there somewhere the curtain was-pitched
ἢ νεολέκτους τῷ παντὶ συγκαταλέγειν στρατεύματι
than new-recruits with-the whole to-enroll army
ἐπιμελῶς τε ἐκπαιδεύειν, ὅπως χρὴ τόξον τείνειν καὶ
carefully and to-train how it-is-needful bow to-stretch and
δόρυ κραδαίνειν ἵππον τε ἐλαύνειν καὶ μερικὰς ποιεῖσθαι
spear to-brandish horse both to-drive and partial to-make

συντάξεις, τὸ καινὸν ἐκεῖνο σχῆμα τῆς παρατάξεως, ὅπερ
formations the new that form of-the battle-line which
αὐτὸς ἐξεῦρεν, ἀναδιδάσκων τοὺς στρατιώτας, ἔστιν οὗ
himself devised teaching the soldiers there-is when
καὶ αὐτὸς συνιππαζόμενος τούτοις καὶ παραθέων τὰς
also himself riding-together with-them and running-past the
φάλαγγας καὶ τὸ δέον ἅπαν ὑποτιθέμενος. τοῦ ἡλίου δὲ
phalanxes and the needed all suggesting the sun and
τῶν μειζόνων ἀφισταμένου κύκλων καὶ παραμείψαντος
of-the greater departing circles and having-passed
μὲν τὴν φθινοπωρινὴν ἰσημερίαν, ἐπικύπτοντος δὲ ἤδη
indeed the autumnal equinox bending and already
πρὸς τοὺς νοτιωτέρους κύκλους, ἐπεὶ οὑτοσὶ εὔθετος
toward the more-southern circles when this suitable
ὁ καιρὸς ταῖς ἐκστρατείαις ἐδόκει, σὺν ὅλαις δυνάμεσι
the time for-the expeditions seemed with whole forces
κατευθὺ Ἰκονίου ἤλαυνε καθ' ὃν ἀρχῆθεν προέθετο
straight-for Ikonion drove according-to which from-the-beginning he-had-proposed
λογισμόν. καὶ τηνικαῦτα τὴν Νίκαιαν καταλαβὼν εὐζώνους
reasoning and at-that-time — Nicaea having-reached light-armed
στρατιώτας μετ' ἐμπείρων ἡγεμόνων ἀποδιελόμενος τοῦ
soldiers with experienced leaders having-detached from-the
λοιποῦ στρατεύματος εἰς προνομὴν κατὰ τῶν Τούρκων
rest army for foraging against the Turks
προεκδραμεῖν τούτους παρεκελεύσατο διεσπαρμένως τὰς
to-run-out-ahead them ordered scatteredly the
ἐκδρομὰς ποιουμένους· ἀλλὰ μηδέ, εἰ τὴν νίκην θεόθεν
raids making but not-even if the victory from-God
λάβοιεν καὶ κατατροπώσαιντο τοὺς ἐχθρούς, ἐς
they-should-take and should-rout the enemies to
μακρὰν ἀποτελεῖν τὴν καταδρομήν, ἀρκουμένους δὲ τῇ
far to-accomplish the overrunning being-content and with-the

δεδομένῃ μετ᾽ εὐταξίας πάλιν τὴν ὑποστροφὴν παρηγγύα
given(-victory) with good-order again the return he-instructed
ποιεῖν. καταλαβόντες οὖν ἅμα τῷ αὐτοκράτορι
to-make having-reached then together-with the autocrat
τόπον τινὰ *** διακείμενον, ἐγχωρίως οὑτωσὶ Γαΐτα
place a-certain (lacuna) lying locally so Gaita
προσαγορευόμενον, ἐκεῖνοι μὲν εὐθὺς ἀπῄεσαν, ὁ δὲ
called they indeed at-once went-off he and
ἀπάρας ἐκεῖθεν σὺν ὅλαις δυνάμεσι τὴν κατὰ τὸν Πιθηκᾶν
having-set-out from-there with whole forces the at — Pithekas
διακειμένην καταλαμβάνει γέφυραν. εἶτα ἐν τρισὶν ἡμέραις
lying reaches bridge then in three days
διὰ τοῦ Ἀρμενοκάστρου καὶ τῶν οὕτω καλουμένων
through — Armenokastron and the so called
Λευκῶν τὰς τοῦ Δορυλέου καταλαμβάνει πεδιάδας,
Leukai the — of-Dorylaion reaches plains
ἀποχρώσας δὲ ταύτας πρὸς παρατάξεις κατανοήσας καὶ
sufficient and these for battle-lines having-perceived and
θέλων ἅπαντας θεάσασθαι καὶ τὴν ὁπλιτικὴν πάντως
wishing all to-view and the heavy-armed wholly
ἐγνωκέναι δύναμιν, ἣν πάλιν ὤδινε πολεμικὴν σύνταξιν
to-have-known force which again labored-over military formation
καὶ ἐν διφθέραις πολλάκις συνεγράψατο σχηματίζων τὰς
and on parchments often wrote-down drawing the
παρατάξεις (ἦν γὰρ οὐδὲ τῆς Αἰλιανοῦ τακτικῆς ἀδαής),
battle-lines he-was for not-even of-the of-Aelian tactics unskilled
ταύτην κατὰ τὸν παρεστηκότα τότε καιρὸν ἐν ἀληθείᾳ
this at the present then time in truth
συντάξας κατὰ τὸ πεδίον ἐκεῖνο ἐστρατοπέδευσεν. εἰδὼς
having-formed on the plain that encamped knowing
γὰρ οὗτος ἐξ ἐμπειρίας πάνυ πολλῆς, ὅτι ἡ Τουρκικὴ
for he from experience very much that the Turkish

παράταξις οὐ κατὰ τὰς τῶν ἄλλων ἐθνῶν παρατάξεις
battle-line not like the of-the other nations battle-lines
συνέστηκεν, οὐδ', ὡς Ὅμηρός φησιν, ἀσπὶς ἄρ' ἀσπίδ'
is-formed nor as Homer says shield after-all on-shield
ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ, ἀλλὰ καὶ τὸ δεξιὸν
pressed helmet on-helmet on-man and man but also the right
κέρας τοῖς Τούρκοις καὶ τὸ εὐώνυμον καὶ τὸ μέτωπον ἀπ'
wing for-the Turks and the left and the front from
ἀλλήλων διέσπασται καὶ ἑστήκασιν οἷον ἀπερρωγυῖαι
each-other has-been-torn-apart and stand as-it-were broken-off
ἀπ' ἀλλήλων αἱ φάλαγγες, καὶ ὅταν τις ἐπὶ τὸ δεξιὸν
from each-other the phalanxes and when someone on the right
ἢ τὸ εὐώνυμον κέρας ὁρμήσειεν, ἐφάλλεται αὐτῷ καὶ τὸ
or the left wing should-rush leaps-upon him also the
μέτωπον καὶ τὸ μετ' ἐκεῖνο μέρος τῆς ὅλης παρατάξεως
front and the after that part of-the whole battle-line
καὶ καθάπερ τινὲς λαίλαπες τὸ ὑποκείμενον συνετάραξαν·
and like some whirlwinds the underlying throw-into-confusion
τὰ δὲ πολεμικὰ τούτοις ὄργανα, οὐ πάνυ δόρασι χρῶνται
the and military to-them instruments not very spears they-use
καθάπερ οἱ λεγόμενοι Κελτοί, ἀλλὰ πανταχόθεν κυκλοῦντες
like the called Celts but from-everywhere encircling
τὸν ἐχθρὸν τόξοις βάλλουσιν· καὶ ἔστιν ἡ ἄμυνα
the enemy with-bows they-shoot and is the defense
τούτων πόρρωθεν· ὁπόταν διώκῃ, ἁλίσκει τῷ τόξῳ, καὶ
their from-afar whenever he-pursues he-captures with-the bow and
διωκόμενος κρατεῖ τοῖς βέλεσι, καὶ βάλλει βέλος καὶ τὸ
being-pursued prevails with-the arrows and shoots arrow and the
βέλος πετόμενον ἢ τὸν ἵππον ἢ τὸν ἱππότην ἔπληξεν,
arrow flying either the horse or the rider struck
ἀπὸ δὲ βαρυτάτης χειρὸς ἀφεθὲν δι' ὅλου τοῦ σώματος
from and heaviest hand let-go through whole the body

παρελήλυθεν· οὕτως εἰσὶ τοξικώτατοι. πρὸς γοῦν
has-passed thus they-are most-skilled-in-archery toward at-any-rate
τοῦτο ὁ πολυπειρότατος ἐκεῖνος βασιλεὺς ἐνιδὼν τὰς
this the most-experienced that emperor having-looked the
παρατάξεις αὐτὸς ἐπεποίητο καὶ συνίστα τὰς φάλαγγας
battle-lines himself had-made and formed the phalanxes
οὕτως, ὡς τοὺς μὲν ἀπὸ τῶν δεξιῶν τοξεύειν, ὅθεν
thus that the(-men) indeed from the right to-shoot whence
αἱ ἀσπίδες προβέβληντο, τοὺς δὲ ἡμετέρους ἐκ τῶν
the shields were-held-forward the and ours from the
ἀριστερῶν βάλλειν, ὅθεν τὰ ἀσκέπαστα ἦν τοῦ σώματος.
left to-shoot whence the unprotected(-parts) were of-the body
καὶ αὐτὸς μὲν τὴν τοιαύτην κατανοήσας παράταξιν
and he indeed the such having-perceived battle-line
ὡς ἄμαχός ἐστιν ἐθαύμασε τῆς δυνάμεως· ὥσπερ τινὰ
that invincible it-is marveled-at the force like some
Θεοῦ σύνταξιν ἄντικρυς καὶ ἀγγέλων παρεμβολὴν τὴν
of-God formation outright and of-angels camp the
τοιαύτην ἡγεῖτο παράταξιν. ἅπαντες δὲ καὶ ἐθαύμαζον
such he-considered battle-line all and both marveled
καὶ ἐγεγήθεσαν τεθαρρηκότες ἐπὶ τῷ τοῦ αὐτοκράτορος
and rejoiced having-taken-courage at the of-the autocrat
σκέμματι. ἐκεῖνος δὲ ἅμα καὶ τὰς δυνάμεις κατανοῶν καὶ
plan he and at-once both the forces observing and
τὰς πεδιάδας, δι' ὧν διιέναι ἔμελλε, φανταζόμενος καὶ
the plains through which to-pass he-was-about picturing and
τὸ τῆς παρατάξεως στερρὸν καὶ ἀδιάσπαστον λογιζόμενος
the of-the battle-line firm and unbreakable reckoning
χρηστὰς ἐλπίδας ἐντεῦθεν ἐλάμβανε καὶ εἰς ἔργον ταύτας
good hopes thence took and into deed them
Θεῷ προβῆναι ἐπηύχετο.
to-God to-advance prayed

From Santabaris Kamytzes and Stypeiotes are sent out, and from Kedrea Bardas Bourtzes against the Turks in his forebear's towns. Hearing that the sultan has burned the fields, Alexios lays two papers on the altar, and the priest reads him the one for Philomelion. Bourtzes, holding out by a river against Turks who want their captives back, sends Lebounes through their lines for help. Alexios marches in formation, the empress's young nephew Nikephoros, struck in the knee, fells his attacker, Philomelion is taken, and the captives flock to the army like a living city on the move.

Οὕτω γοῦν παραταξάμενος τὴν Σαντάβαριν κατέλαβε
thus at-any-rate having-drawn-up — Santabaris reached
*** τοὺς ἡγεμόνας ἅπαντας τῆς τοιαύτης παρατάξεως
(lacuna) the leaders all of-the such battle-line
διελὼν τὸν μὲν Καμύτζην κατὰ τοῦ Πολυβότου καὶ
having-divided — indeed Kamytzes against — Polybotos and
τῆς Κέδρου ἐξέπεμψε (πολίχνιον δὲ τοῦτο ἐρυμνότατον
— Kedros sent-out little-town and this most-strong
παρά τινος σατράπου Πουχέα καλουμένου κατεχόμενον),
by a-certain satrap Poucheas called held
τῷ δέ γε Στυπειώτῃ κατὰ τῶν ἐν τῷ Ἀμορίῳ
— and at-least to-Stypeiotes against the in — Amorion
βαρβάρων ἀπελθεῖν *** το. αἰσθόμενοι δὲ τῆς
barbarians to-go-off (lacuna) (fragment) having-perceived and the
βουλῆς δύο τινὲς Σκύθαι αὐτόμολοι προσεληλυθότες τῷ
plan two certain Scythians deserters having-come —
Πουχέᾳ τὴν τοῦ Καμύτζη διεμήνυον ἔφοδον, ἅμα δὲ καὶ
to-Poucheas the — of-Kamytzes made-known attack at-once and also
τὴν τοῦ αὐτοκράτορος ἔλευσιν. ὁ δὲ φόβῳ τηνικαῦτα
the of-the autocrat coming he and by-fear at-that-time
πολλῷ συσχεθεὶς περὶ μέσας φυλακὰς τῆς νυκτὸς ἐκεῖθεν
much seized about middle watches of-the night from-there

ἐξελθὼν μετὰ τῶν ὁμοφύλων ᾤχετο. αὐγαζούσης δὲ
having-gone-out with the fellow-tribesmen went-off dawning and
ἤδη τῆς ἡμέρας καταλαβὼν ὁ Καμύτζης τὸν μὲν
already the day having-arrived — Kamytzes the indeed
Πουχέαν οὐχ εὗρεν, ἀλλ᾽ οὐδέ τινα τὸ παράπαν Τοῦρκον·
Poucheas not found but not-even any the at-all Turk
πλῆρες δὲ λαφύρων τὸ πολίχνιον, τὴν Κεδρέαν φημί,
full and of-spoils the little-town — Kedrea I-mean
εὑρηκὼς πρὸς οὐδὲν τούτων ἀπένευσεν, ἀλλ᾽ ἠνιᾶτο
having-found to nothing of-these turned but was-grieved
καθάπερ οἱ θηραταὶ τὴν ἐν χεροῖν ἄγραν ἀπολωλεκότες
like the hunters the in hands quarry having-lost
καὶ μὴ ἀνασχόμενος εὐθὺς τὰς ἡνίας στρέψας κατὰ τοῦ
and not having-endured at-once the reins having-turned against —
Πολυβότου ἄπεισι καὶ ἀθρόον τούτοις ἐπεισπεσὼν κτείνει
Polybotos goes-off and in-a-mass on-them having-fallen kills
μὲν βαρβάρους ὑπὲρ ἀριθμόν, ἅπασαν δὲ τὴν λείαν
indeed barbarians beyond number all and the booty
καὶ τοὺς δορυαλώτους ἀναλαβόμενος περὶ τὰ κεῖθι μέρη
and the spear-captives having-taken-up about the there parts
αὐλίζεται τὴν τοῦ αὐτοκράτορος ἀπεκδεχόμενος ἔλευσιν.
encamps the of-the autocrat awaiting coming
τὰ αὐτὰ καὶ ὁ Στυπειώτης τὸ Ποιμανηνὸν καταλαβὼν
the same also — Stypeiotes the Poimanenon having-reached
δράσας πρὸς τὸν βασιλέα ἐπανέστρεψε. καταλαμβάνει
having-done to the emperor returned reaches
δὲ καὶ ὁ αὐτοκράτωρ τὴν Κεδρέαν περὶ ἡλίου δυσμάς.
and also the autocrat — Kedrea about of-sun setting
καὶ προσεληλυθότες παραχρῆμα αὐτῷ στρατιῶταί τινες
and having-come immediately to-him soldiers some
ἔφασαν, πληθὺν ἀμέτρητον εἶναι βαρβάρων εἰς τὰ τοῦ
said multitude measureless to-be of-barbarians in the of-the

πάλαι ᾀδομένου Βούρτζη πολίχνια ἀγχοῦ που διακείμενα.
long-ago sung Bourtzes little-towns near somewhere lying
ὁ δὲ αὐτοκράτωρ αὐτίκα τε ἠκηκόει τοῦ λόγου καὶ πρὸς
the and autocrat at-once both had-heard the word and for
ἔργον ἡτοίμαστο. καὶ παραυτίκα τὸν ἐκείνου τοῦ Βούρτζη
deed was-ready and immediately the of-that — Bourtzes
ἀπόγονον Βάρδαν τὴν κλῆσιν μετὰ Γεωργίου τοῦ Λεβούνη
descendant Bardas the name with George the Lebounes
καὶ Σκύθην Πιτικὰν σκυθικῶς καλούμενον μετὰ τῶν ὑπ᾽
and Scythian Pitikas in-Scythian called with the under
αὐτοὺς εἰς ἀξιόμαχον παραστήσας δύναμιν κατ᾽ ἐκείνων
them into a-match-for-battle having-set force against them
ἐξέπεμψεν ἐπισκήψας, ἐπὰν ἐκεῖσε παραγένωνται, προνομεῖς
sent-out having-enjoined when there they-should-arrive foragers
ἀποστεῖλαι κατὰ τῶν παρακειμένων κωμοπόλεων καὶ
to-send against the adjacent village-towns and
ἁπάσας δηώσασθαι καὶ αὐτοὺς δὴ τοὺς αὐτόχθονας
all to-ravage and themselves indeed the natives
ἐκεῖσε μετοικίσαντας κομίσαι οἱ. ἐκεῖνοι μὲν οὖν εὐθὺς
there having-transplanted to-bring to-him they indeed then at-once
τῆς προκειμένης ὁδοῦ εἴχοντο, ὁ δὲ αὐτοκράτωρ ἐχόμενος
to-the proposed road held the and autocrat holding-to
τοῦ προτέρου σκοποῦ τὸ Πολύβοτον καταλαβεῖν ἠπείγετο
the former aim — Polybotos to-reach hastened
καὶ μέχρις Ἰκονίου ἀποδραμεῖν. ταῦτα διαλογιζόμενος
and as-far-as Ikonion to-run-off these(-things) considering
